τούσδε ξενίζειν] Cf. 161. Vesp. 835. *τοιουτονὶ τρέφειν κύνα.* Eccl. 530.

ἴσχει] Vox rarior apud comicos. Cf. Pac. 949. *οὐδὲν ἴσχει πλὴν τὸ πρόβατον ἡμᾶς.* Lys. 505. *χαλεπὸν — ἴσχειν αὐτάς* (*τὰς χεῖρας*). Eq. 724. *μηδὲν ἡμᾶς ἰσχέτω.* Vesp. 1264. Nub. 983. Eupol. II. 537. *ἴσχε δή.* Antiph. com. III. 46. *ἴσχε, τὸν ᾠδὸν λάμβανε.*

Schol. τούσδε ξενίζειν: Παροιμία ἐπὶ τῶν πολλοὺς ξένους ἀποδεχομένων, (Οὐδέποτ' ἴσχει ἡ θύρα. μέμνηται καὶ Εὔπολις ἐν Φίλοις

"νὴ τὸν Ποσειδῶ, οὐδέποτ' ἴσχει ἡ θύρα."

καὶ Καλλίμαχος ἐν Ἑκάλῃ [Fr. 41]

"*τῖον δέ ἑ πάντες ὁδῖται*
ἦρα φιλοξενίης· ἔχε γὰρ τέγος ἀκλήϊστον."

καὶ Πίνδαρος [Nem. IX. 4]

"*ἔνθ' ἄρα πεπταμέναιν ξείνων ἔνεκεν ταῖν θύραιν.*"

λέγει δὲ περὶ τῶν πρυτάνεων, διότι αὐτὸν μὲν ὑπὲρ τῆς πόλεως στρατευόμενον καὶ πονοῦντα οὐ δέχονται, τοὺς δὲ πρέσβεις ξένους ὄντας καὶ ξενίζουσιν ἐν αὐτῷ. ἴσχει δὲ ἀντὶ τοῦ κωλύει ἢ ἀποκλείει. Ἄλλως. οὐδέποτε ἐκώλυσεν ἢ ἀπέκλεισεν. ὁ δὲ λόγος ἐπὶ τῶν πρυτάνεων, καθὸ ἐπὶ ξενίαν καλοῦσι τοὺς ἀφικνουμένους.)

128. Cf. Soph. Aj. 466. *ἀλλὰ δῆτ' ἰὼν — καὶ δρῶν τι χρηστὸν εἶτα λοίσθιον θάνω;* Eur. Med. 1121. *ὦ δεινὸν ἔργον παράνομόν τ' εἰργασμένη —.* Av. 1175. *ὦ δεινὸν ἔργον καὶ σχέτλιον εἰργασμένος.* Pl. 445. Andocid. p. 19, 43.

δεινὸν καὶ μέγα] Cf. Th. 581. *πρᾶγμα δεινὸν καὶ μέγα.* Pac. 403. *καί σοι φράσω τι πρᾶγμα δεινὸν καὶ μέγα.*

129. *Ἀμφίθεος*] Hujus opera uti vult in paranda Pace, quia scit pacis eum studiosum esse, ut patet e v. 46.

130. *ταυτασὶ — ὀκτὼ δραχμάς*] *δεικτικῶς.* Cf. 960. *ταυτησὶ δραχμῆς.* 985. *ταυτασὶ* est etiam Lys. 603. Viatica (*ἐφόδια*) ei dat, quae suppeditare noluerant Prytanes. Vide v. 53.

ὀκτὼ δραχμάς] Hanc mercedem ei ut legato dat, nempe pro singulis diebus binas drachmas (cf. 66). Bidui enim iter ab Athenis ad Lacedaemona, et vice versa, fuit. V. Herod. VI. 120. Dem. p. 390. *τρεῖς μῆνας ὅλους ἀποδημήσαντες* (legati) *καὶ χιλίας λαβόντες δραχμὰς ἐφόδιον* (f. *ἐφόδια*) *παρ' ὑμῶν.*

132. *τῇ πλάτιδι*] Uxori. Cf. Dem. p. 1016. *Πλαγγὼν — ἐπλησίαζεν αὐτῷ.* Eur. Andr. 24. *κἀγὼ δόμοις τοῖσδ' ἄρσεν' ἐντίκτω κόρον | πλαθεῖσ' Ἀχιλλέως παιδί.* Aesch. Prom. 904. *μηδὲ πλαθείην γαμέτᾳ τινὶ τῶν ἐξ οὐρανοῦ.* Soph. Tr. 17. Phil. 677. Oed. R. 1100. Ejusdem originis voce *ἐμπελάτειρα* (cf. Soph. Tr. 16. *πρὶν τῆσδε κοίτης ἐμπελασθῆναί ποτε*) usus est Callimachus, *τοὺς αὐτῷ σκοτίους ἐμπελάτειρα τέκεν.* Cf. Blomf. ad Prom. 927.

Schol. καὶ τῇ πλάτιδι: Τῇ γυναικὶ, παρὰ τὸ πελάζειν τῷ ἀνδρὶ κατὰ τὴν κοίτην.

133. *κεχήνετε*] Cf. ad Eq. 1263. *τῇ κεχηναίων πόλει.* Fr. 49. *ἀνέχασκον εἷς ἕκαστος ἐμφερέστατα | ὀπτωμέναις κόγχαισιν ἐπὶ τῶν ἀνθράκων.*

Schol. (*πρεσβεύεσθε: Ἀντὶ τοῦ πρέσβεις πέμπετε. τὸ δὲ κεχήνατε*) *ἐξαπατᾶσθε καὶ ἐνεοί ἐστε.*

134. *Θέωρος*] Hunc in Nub. 399. notat tanquam perjurum, in Vesp. 42. 416. 596. 1236. tanquam adulatorem. Hoc loco reddit rationem legationis qua defunctus fuerat apud Sitalcem Thracum regem, Atheniensium amicum, a quo copias auxiliares adducit. BE. Producitur prima in *Σιτάλκους*, ut apud Herm. II. 407.

Schol. προσίτω Θέωρος: (Οὗτος ἐπὶ κολακείᾳ κωμῳδεῖται.) ὁ κῆρυξ καλεῖ ἄλλον πρεσβευτὴν ἐλθόντα παρὰ Σιτάλκους τοῦ Θρᾳκῶν βασιλέως, πρὸς ὃν ἦσαν ἀποστείλαντες αὐτὸν Ἀθηναῖοι· οὗτος δὲ ἐκαλεῖτο Θέωρος. μέμνηται δὲ αὐτοῦ ποτὲ μὲν ὡς ἐπιόρκου, ὡς ἐν Νεφέλαις [399]· (φησὶ γὰρ "εἴπερ βάλλει τοὺς ἐπιόρκους, πῶς δῆτ' οὐχὶ Σίμων' ἐνέπρησεν | οὐδὲ Κλεώνυμον οὐδὲ Θέωρον; καίτοι σφόδρα γ' εἴσ' ἐπίορκοι.") ποτὲ δὲ ὡς ἐν τοῖς Σφηξίν [20]. (εἰσκηρύττεται δὲ ἀντὶ τοῦ καλεῖται ὑπὸ τοῦ κήρυκος.)

135. εἰσκηρύττεται] Soph. El. 690. ὅσων γὰρ εἰσεκήρυξαν βραβῆς | δρόμων διαύλων ἆθλ' etc.

137. *Schol.* οὐκ ἄν γ' εἰ μισθόν γε μὴ 'φερες: Τοῦτο διὰ μέσου ὁ Δικαιόπολις. οὐκ ἂν ἔτριψας τὸν χρόνον, εἰ μὴ πολὺν μισθὸν ἐλάμβανες· τὸ γὰρ ἔφερες ἀντὶ τοῦ ἐλάμβανες, ἐβάσταζες.

138. κατένιψε — ἔπηξ'] Sc. ὁ Ζεὺς aut ὁ θεός. Sic νίφειν, ὕειν, χαλαζᾶν, βροντᾶν, ἀστράπτειν, χιονίζειν, etc. Cf. Nub. 965. κεἰ κριμνώδη κατανίφοι. Similiter Herod. II. 22. εἰ ἐχιόνιζε καὶ ὅσον ὦν ταύτην τὴν χώρην. Frigida autem Thracia, ut omnibus notum est. Eur. Hec. 81. τὴν χιονώδη Θρῄκην. Andr. 215. Θρῄκην χιόνι τὴν κατάρρυτον. Cycl. 332. ὅταν δὲ βορέας χιόνα Θρῄκιος χέῃ. Hom. Il. ξ. 227. Hor. Od. III. 25. 10. 'Et nive candidam Thracen.' Sat. II. 5. 41. 'Furius hibernas cana nive conspuet Alpes.'

140. Θέογνις] Hunc tanquam frigidum poëtam perstringit in Thesm. 170. ὁ δ' αὖ Θέογνις ψυχρὸς ὢν ψυχρῶς ποιεῖ. Hoc autem loco facete significat tantarum nivium et tanti frigoris in Thracia causam fuisse quia Theognis tunc Athenis docuerit frigidas suas tragoedias. BE.

ἠγωνίζετο] Certabat in certamine dramatico. Cf. Vesp. 1479.

Schol. ὅτ' ἐνθαδὶ Θέογνις: Οὗτος ὁ Θέογνις τραγῳδίας ποιητὴς ψυχρός. κωμῳδῶν οὖν αὐτὸν (παρίστησιν ἡμῖν τὴν πολλὴν χιόνα, διὰ τὴν τούτου περὶ τὰ ποιήματα ψυχρότητα.) τὸν ψυχρὸν οὖν τῷ ψυχρῷ παρέβαλεν. πάνυ δὲ χαριέντως ἔσκωψε.

141. De Sitalce Diodorus Siculus, Σιτάλκης ὁ τῶν Θρᾳκῶν βασιλεὺς παρειλήφει μὲν βασιλείαν ὀλίγης χώρας, διὰ δὲ τὴν ἰδίαν ἀνδρίαν καὶ σύνεσιν ἐπὶ πολὺ τὴν δυναστείαν ηὔξησεν, ἐπιεικῶς μὲν ἄρχων τῶν ὑποτεταγμένων, ἀνδρεῖος δ' ὢν ἐν ταῖς μάχαις καὶ στρατηγικὸς, ἔτι δὲ τῶν προσόδων μεγάλην ποιούμενος ἐπιμέλειαν. Cf. Thuc. II. 95—100. Mortuum eum esse paullo post annum A. C. 424, hiemis initio (Ol. 89, 1), narrat Thucydides IV. 101. Socius autem Atheniensium factus erat anno A. C. 431. (Thuc. IV. 29).

142. καὶ δῆτα] Cf. Vesp. 13. Av. 511. Eccl. 378. 385. etc.

φιλαθήναιος —] Cf. Vesp. 282. Cf. Eq. 732. ὁτιὴ φιλῶ σ', ὦ Δῆμ', ἐραστής τ' εἰμὶ σός. 1341. ὦ Δῆμ', ἐραστής εἰμι σὸς φιλῶ τέ σε. Dem. p. 439. εἶναί τε τὸν Φίλιππον αὐτὸν — φιλαθηναιότατον. Lucian. Dem. enc. 42. οὕτω μανικῶς φιλαθήναιος ἦν. Dem. p. 1459, 21. φασὶ μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, φιλεῖν ὑμᾶς, φιλοῦσι δ' οὐχ ὑμᾶς ἀλλ' αὑτούς. Dinarch. III. 22. φιλεῖν ὑμᾶς φάσκοντες καὶ πράττειν ὑπὲρ τῶν τῆς πόλεως ἀγαθῶν.

Schol. Pac. 289. *Δᾶτις — πρεσβευόμενος εἰς Ἀθήνας ἠράσθη τῆς αὐτῶν πολιτείας.* Anaxippi fabula *Φιλαθήναιος* inscripta fuit. Contra Dem. p. 439, 27. *μισαθήναιος.* 687. ult.

ὑπερφυῶς] Supra modum. Cf. Eccl. 386. Blomf. Gl. Pers. 825.

Schol. (*καὶ δῆτα φιλαθήναιος: Τὸ φιλαθήναιος προπαροξύνειν δεῖ, ἐπεὶ τὰ εἰς ος λήγοντα προπερισπώμενα ἁπλᾶ ἐν τῇ συνθέσει ἀναβιβάζει τὸν τόνον, οἷον δῆμος Ἀριστόδημος, πῶλος ἐχέπωλος· καὶ Ὅμηρος* [Il. *Δ.* 458] "*Θαλυσιάδην ἐχέπωλον*"· *κνεφαῖος ἀκροκνέφαιος, ὀμφαῖος πανόμφαιος, ἀρχαῖος φιλάρχαιος. οὕτω καὶ φιλαθήναιος.*)

143. *ἐραστής*] *φιλεῖν* et *ἐρᾶν* eodem modo conjungit noster in Eq. 732. *ὁτιὴ φιλῶ σ', ὦ δῆμ', ἐραστής τ' εἰμὶ σός.* 1341. *ὦ δῆμ', ἐραστής εἰμι σὸς φιλῶ τέ σε.* ELM. Adde Anaxil. com. III. 348. *ὡς ἐρῶσι καὶ φιλοῦσι καὶ σύνεισιν ἡδέως.* Xen. Hier. XI. 11. *ὥστε οὐ μόνον φιλοῖο ἂν ἀλλὰ καὶ ἐρῷο.* Plut. Brut. 29. *Βροῦτον δὲ λέγουσι δι' ἀρετὴν φιλεῖσθαι μὲν* (diligi) *ὑπὸ τῶν πολλῶν, ἐρᾶσθαι δ'* (amari) *ὑπὸ τῶν φίλων.* Av. 1279. *ὅσους τ' ἐραστὰς τῆσδε τῆς χώρας ἔχεις.* Plat. Gorg. 481 D. *ἐρῶντε — ἐγὼ μὲν Ἀλκιβιάδου — σὺ δὲ τοῦ τε Ἀθηναίων δήμου* etc. Id. Alc. I. 132. *δημεραστής.* Schol. ad Plut. 550. *Θρασύβουλος ἐραστὴς ὢν τῆς δημοκρατίας.*

ἐραστὴς — ἀληθής] Cf. Eur. Suppl. 870. *φίλοις τ' ἀληθὴς ἦν φίλος.* Orest. 418. *οὐ σοφὸς, ἀληθὴς δ' ἐς φίλους ἔφυν φίλος.* Suppl. 877. *φίλοις ἀληθὴς ἦν φίλος.*

ὥστε καὶ —] Cf. Av. 1290. *ὠρνιθομάνουν δ' οὕτω περιφανῶς ὥστε καὶ | πολλοῖσιν ὀρνίθων ὀνόματ' ἦν κείμενα.* Eq. 319. Nub. 613.

144. *ἐν τοῖσι τοίχοις ἔγραφ'*] De more veterum nomina formosorum puerorum et puellarum inscribendi parietibus, januis, corticibus arborum, diximus ad Suidam s. v. *καλοί.* KUST. Ut amatores deliciarum suarum nomina solent passim inscribere. Cf. Vesp. 97. *καὶ νὴ Δί' ἢν ἴδῃ γέ που γεγραμμένον | τὸν τοῦ Πυριλάμπους ἐν θύρᾳ Δῆμον καλὸν, | ἰὼν παρέγραψε πλησίον "Κημὸς καλός."* Callimach. apud Laërtium in Diodoro: *αὐτὸς ὁ Μῶμος | ἔγραφεν ἐν τοίχοις, Ὁ Κρόνος ἐστὶ σοφός.* BE. Schol: *ἴδιον ἐραστῶν ἦν τὰ τῶν ἐρωμένων ὀνόματα γράφειν ἐν τοῖς τοίχοις ἢ δένδροις ἢ φύλλοις οὕτως, ὁ δεῖνα καλός.* Lucian. Amor. 16. *ἤδη δὲ πλέον αὐτῷ τοῦ πάθους ἐρεθιζομένου, τοῖχος ἅπας ἐχαράσσετο, καὶ πᾶς μαλακοῦ δένδρου φλοιὸς Ἀφροδίτην καλὴν ἐκήρυσσεν.* Id. Dial. mer. X. 4. *ἐπιγράψειν μοι δοκῶ ἐπὶ τοῦ τοίχου — Ἀρισταίνετος διαφθείρει Κλεινίαν.* Id. Quom. h. s. c. 29. *ὅτι μηδὲ κατὰ τοίχου γεγραμμένον πόλεμον ἑωράκει.* Theocr. XXIII. 46. *γράψον καὶ τόδε γράμμα, τὸ σοῖς τοίχοισι χαράξω· | Τοῦτον ἔρως ἔκτεινεν· ἀπηνέα εἶχεν ἑταῖρον.*

Schol. ἐν τοῖς τοίχοις: Ἴδιον ἐραστῶν ἦν τὰ τῶν ἐρωμένων ὀνόματα γράφειν ἐν τοῖς τοίχοις ἢ δένδροις ἢ φύλλοις, (*οὕτως· ὁ δεῖνα καλός. καὶ παρὰ Καλλιμάχῳ* [Fr. 101]

"*ἀλλ' ἔνι δὴ φύλλοισι κεκομμένα τόσσα φέροιτε*
γράμματα Κυδίππην ὅσσ' ἐρέουσι καλήν."

καὶ ἐν τοῖς Σφηξὶν [99] "*ἰὼν παρέγραψε κημὸς καλός.*" *καὶ Λιβάνιος* "*φιλοῦσι γὰρ οἱ σφόδρα περί τι ἐρωτικῶς ἔχοντες ἡδέως συνεῖναι καὶ τοῖς ὀνόμασι.*"

145. *ὁ δ' υἱός*] Sadocus vocatur apud Thucydidem Lib. II., ubi refertur cur Athenienses cum Sitalce societatem inierint ejusque filium civem fecerint. Hunc dicit Comicus intercessisse pro Atheniensibus apud patrem de auxilio mittendo. De Sitalce et filio Sadoco consulendus Thuc. II. 29. *ἐλθών τε ἐς τὰς Ἀθήνας ὁ Νυμφόδωρος τήν τε τοῦ Σιτάλκου ξυμμαχίαν ἐποίησε καὶ Σάδοκον τὸν υἱὸν αὐτοῦ Ἀθηναῖον.* 67. *πείθουσι τὸν Σάδοκον τὸν γεγενημένον Ἀθηναῖον, Σιτάλκου υἱὸν*, etc. 95—101. IV. 101. ELM.

ἐπεποιήμεθα] Forma passiva sensu medio usurpata. Cf. ad Eq. 63. *τέχνην πεποίηται.* Pac. 1065. *συνθήκας πεποίησθ'.* [Dem.] p. 173, 15. *νῦν δὲ φθόρους ἀνθρώπους — ποιεῖσθε πολίτας.* p. 19, 280. *τοὺς ἀφ' Ἁρμοδίου — σπονδῶν καὶ κρατήρων κοινωνοὺς πεποίησθε.* Xen. Cyr. I. 5. 2. *ὑπήκοον δὲ πεποιημένος τὸν Ἀραβίων βασιλέα.* Sic *ποιεῖσθαί τινας ξυμμάχους* Thuc. V. 46. Isocr. p. 199. *τὸν δὲ διὰ πολλὰς καὶ μεγάλας εὐεργεσίας νόμῳ πολίτην ἐπεποίηντο.* Lys. VIII. 76. *οὔτε Ἀθηναῖον αὐτὸν ὁ δῆμος ἐποιήσατο.* Cf. etiam Alex. III. 413. *τοὺς Χαιρεφίλου δ' υἱεῖς Ἀθηναίους, ὅτι | εἰσήγαγεν τάριχος.* Ubi subaudiendum *ἐποιησάμεθα* aut aliquid simile.

Schol. ὁ δ' υἱὸς ὃν Ἀθηναῖον: Τοῦτον πολίτην ἐποίησαν Ἀθηναῖοι, (*τοῦ πατρὸς στρατιὰν αὐτοῖς παραπέμποντος. ἐλέγετο δὲ οὗτος Τήρης. ἔνιοι δέ φασιν ὅτι ὁμώνυμος ἦν τῷ πατρὶ Σιτάλκει, σύμμαχος Ἀθηναίοις. μέμνηται Θουκυδίδης* [II. 19. coll. 67.], *προστίθησι δὲ καὶ τὸ ὄνομα λέγων οὕτως* "*καὶ Σάδοκον τὸν υἱὸν αὐτοῦ Ἀθηναῖον.*")

146. *ἤρα φαγεῖν —*] Cf. Av. 76. *τοτὲ μὲν ἐρᾷ φαγεῖν ἀφύας Φαληρικάς.*

ἀλλᾶντας ἐξ Ἀπατουρίων] Sic. 724. *ἱμάντας ἐκ Λεπρῶν.* Eccl. 1057. *ἐξ αἵματος φλύκταιναν.* Thesm. 558. *τὰ κρέ' ἐξ Ἀπατουρίων.* Cf. ad 439.

Ἀπατουρίων] Schol: *χαριέντως, ὡς ἐξαπατωμένων τῶν Ἀθηναίων.* Similis videtur locus Hermippi apud Athen. I. 27 E. *καὶ παρὰ Σιτάλκου ψώραν Λακεδαιμονίοισιν, | καὶ παρὰ Περδίκκου ψεύδη ναυσὶν πάνυ πολλαῖς* (Angl. many ship-loads or cargoes of lies). Festum autem Apaturia mense Pyanepsione per tres dies agebatur, quorum primus *Δόρπεια*, secundus *Ἀνάρρυσις*, tertius *Κουρεῶτις* vocabatur. Hoc ultimo die juvenes *εἰς τὰς φρατρίας* inscribi mos erat: unde nomen. V. Muller. Dor. I. 95. Herod. I. 147. *εἰσὶ δὲ πάντες Ἴωνες ὅσοι ἀπ' Ἀθηνῶν γεγόνασι καὶ Ἀπατούρια ἄγουσι ὁρτήν.* Dem. p. 995. *ἐγγράφει τοῖς Ἀπατουρίοις τουτονὶ μὲν Βοιωτὸν εἰς τοὺς φράτερας, τὸν δ' ἕτερον Πάμφιλον.* Andoc. I. 126. *λαβόντες δὲ — τὸ παιδίον ἧκον ἐπὶ τὸν βωμὸν Ἀπατουρίοις* etc. Xen. Hell. I. p. 43. *μετὰ δὲ ταῦτα ἐγένετο Ἀπατούρια, ἐν οἷς οἵ τε φράτερες* (*πατέρες* vulg.) *καὶ οἱ ξυγγενεῖς ξύνεισι σφίσιν αὐτοῖς.* Th. 558. *ὥς τ' αὖ τὰ κρέ' ἐξ Ἀπατουρίων ταῖς μαστροποῖς διδοῦσαι* etc. Theophr. Char. III. *καὶ* (*λέγειν*) *ὡς — Πυανεψιῶνος Ἀπατούρια, Ποσειδεῶνος δὲ τὰ κατ' ἀγροὺς Διονύσια* (202).

Schol. (*ἤρα φαγεῖν: Χαριέντως, ὡς ἐξαπατωμένων τῶν Ἀθηναίων. λέγει δὲ νῦν περὶ Ἀπατουρίων, ἑορτῆς ἐπισήμου δημοτελοῦς, ἀγομένης παρὰ*

τοῖς Ἀθηναίοις κατὰ τὸν Πυανεψιῶνα μῆνα ἐπὶ τρεῖς ἡμέρας. καλοῦσι δὲ τὴν μὲν πρώτην δόρπειαν, ἐπειδὴ φράτορες ὀψίας συνελθόντες εὐωχοῦντο· τὴν δὲ δευτέραν ἀνάρρυσιν, ἀπὸ τοῦ ἀναρρύειν, τοῦ θύειν· ἔθυον δε Διὶ φρατρίῳ καὶ Ἀθηνᾷ· τὴν δὲ τρίτην κουρεῶτιν, ἀπὸ τοῦ τοὺς κούρους καὶ τὰς κόρας ἐγγράφειν εἰς τὰς φρατρίας· ἐν ᾗ ἐγράφη ἐν τῇ πολιτείᾳ ὁ υἱὸς Σιτάλκους. ἡ δὲ αἰτία, πόλεμος ἦν Ἀθηναίοις πρὸς Βοιωτοὺς περὶ Κελαινῶν, ὃ ἦν χωρίον ἐν μεθορίοις. Ξάνθος δὲ Βοιωτὸς προεκαλέσατο τὸν Ἀθηναίων βασιλέα Θυμοίτην. οὐ δεξαμένου δὲ Μέλανθος ἐπιδημῶν, Μεσσήνιος τὸ γένος ἀπὸ Περικλυμένου τοῦ Νηλέως, ὑπέστη ἐπὶ τῇ βασιλείᾳ. μονομαχούντων δὲ ἐφάνη τῷ Μελάνθῳ τις ὄπισθεν τοῦ Ξάνθου, τραγῆν, τουτέστιν αἰγίδα μέλαιναν, ἐνημμένος. ἔφη οὖν ἀδικεῖν αὐτὸν δεύτερον ἥκοντα· ὁ δὲ ἐπεστράφη· ὁ δὲ παίσας ἀποκτείνει αὐτόν. ἐκ δὲ τούτου ἥ τε ἑορτὴ Ἀπατούρια καὶ Διονύσου μελαναίγιδος βωμὸν ἐδωμήσαντο. οἱ δέ φασιν ὅτι τῶν πατέρων ὁμοῦ συνερχομένων διὰ τὰς τῶν παίδων ἐγγραφὰς οἷον ὁμοπατόρια λέγεσθαι τὴν ἑορτήν. ὁποίῳ τρόπῳ λέγομεν ἄλοχον τὴν ὁμόλεκτρον, καὶ ἄκοιτιν τὴν ὁμόκοιτον, οὕτω καὶ Ὁμοπατόρια Ἀπατόρια.)

147. *τῇ πάτρᾳ*] Ambigue, nam Sitalcis etiam patria intelligi potest Thracia, quam adjuturus sit copias inde mercenarias Atheniensibus mittendo.

150. Cf. Nub. 2. *ὦ Ζεῦ βασιλεῦ, τὸ χρῆμα τῶν νυκτῶν ὅσον.* Eq. 1219. *ὅσον τὸ χρῆμα τοῦ πλακοῦντος ἀπέθετο.* Pac. 1192. *ὅσον τὸ χρῆμ' ἐπὶ δεῖπνον ἦλθ' ἐς τοὺς γάμους.* Vesp. 1513. *ὅσον τὸ πλῆθος κατέπεσεν τῶν ὀρχίλων.* Ran. 1278. *ὦ Ζεῦ βασιλεῦ, τὸ χρῆμα τῶν κόπων ὅσον.* Fr. 57. *ὦ Ζεῦ, τὸ χρῆμα τῆς νεολαίας ὡς καλόν.* Lys. 1031. *ἦ μέγ', ὦ Ζεῦ, χρῆμ' ἰδεῖν τῆς (τοῦτ'?) ἐμπίδος ἔνεστί σοι.* 1085. Av. 826. Thesm. 281. Pl. 158. et ad Lys. 83. Teleclid. II. 362. *μέγα χρῆμα γιγάντων.* Xen. Cyr. II. init. *σφενδονητῶν πάμπολύ τι χρῆμα.* De re cf. Thuc. II. 29. *ἐλθών τε ἐς τὰς Ἀθήνας ὁ Νυμφόδωρος τήν τε τοῦ Σιτάλκου ξυμμαχίαν ἐποίησε καὶ Σάδοκον τὸν υἱὸν αὐτοῦ Ἀθηναῖον, τόν τε ἐπὶ Θράκης πόλεμον ὑπεδέχετο καταλύσειν· πείσειν γὰρ Σιτάλκην πέμψαι στρατιὰν Θρᾳκίαν Ἀθηναίοις ἱππέων τε καὶ πελταστῶν.*

παρνόπων] Locustarum genus in Attica frequens, ut docet schol. Cf. Vesp. 1311. Av. 185. 588. Nicophont. com. II. 848. *σέρφους — σκώληκας, ἀκρίδας, πάρνοπας.* Paus. I. 24. 8. *παρνόπων βλαπτόντων τὴν γῆν.*

Schol. ὅσον τὸ χρῆμα: *Ὡς πολλῶν ὄντων παρνόπων ἐν τῇ Ἀττικῇ. βούλεται δὲ πολὺ πλῆθος σημᾶναι. εἶδος δὲ ἀκρίδων οἱ πάρνοπες. (εἰσὶ δὲ οὗτοι ἀττέλαβοι Ἀττικοὶ πάρνοπες.)*

152. Significat se nihil eorum quae Theorus narraverat credere praeter hoc, Thraces, si venturi essent, locustis similis fore. SCHUTZ.

154. Cf. Soph. El. 1115. *τοῦτ' ἐκεῖν' ἤδη σαφές.*

Schol. τοῦτο μέν γ' ἤδη σαφές: *Τοῦτο ψεύδεται, ὡς ἀσθενῶν ἢ ὀλίγων ὄντων.*

155. Prodeunt pauci homines, qui phallum glande nudata gerebant. MULLER.

156. *τουτὶ τί ἐστι τὸ κακόν;*] Cf. Pac 181. Av. 1207. *τί ποτ' ἐστὶ τουτὶ τὸ κακόν;* Vesp. 1136.

'Οδομάντων] Cf. Herod. V. 16. *'Οδομάντους* (al. *'Οδομάντας*). VII. 112. Non tamen Odomantum sed Odrysarum rex fuit Sitalces, teste Thucyd. II. 101. Odomantum rex Polles memoratur Thuc. V. 6. *πέμψας* (Cleon) — *παρὰ Πολλῆν τὸν 'Οδομάντων βασιλέα, ἄξοντα μισθοῦ Θρᾷκας ὡς πλείστους.*

Schol. 'Οδομάντων: 'Οδόμαντες ἔθνος Θρᾳκικόν. φασὶ δὲ αὐτοὺς 'Ιουδαίους εἶναι.

157. *ποίων 'Οδομάντων*] Cf. ad 63. Sensum hujus loci unus perspexit Schutzius: "Dicaeopolis, sicut antea non veros eunuchos legatis Persarum adductos esse significabat, hoc loco suspicatur Odomantos illos esse homines quosdam Athenienses, quos Theorus Odomantos esse per fraudem et fallaciam Prytanibus persuadere cupiat. Hos itaque cinaedos esse criminaturus quaerit *τίς τῶν 'Οδομάντων τὸ πέος ἀποτεθρίακεν;*"

158. *ἀποτεθρίακεν*] Compositum ex *ἀπὸ* et *θρῖον*. Confer *ἀποσυκάζειν* et *ἀποσκολύπτειν*. *'Αποθριάζειν* tralate hoc loco significat praeputium circumcidere, veretrum denudare. *Σῦκον* enim *τὰ αἰδοῖα*, *θρῖον* praeputium (ideo quod *θρῖα* vulgo pro involucris adhibebantur) nonnunquam dicebantur. Cf. Eccl. 707. *ὑμᾶς δὲ τέως θρῖα λαβόντας διφόρου συκῆς* etc. Pac. 1349. *τοῦ μὲν μέγα καὶ παχύ, τῆς δ' ἡδὺ τὸ σῦκον.* Idem valet atque *ἀποψωλεῖν* 161. Pl. 295. Simplex *θριάζειν* (i. e. *φυλλολογεῖν*) occurrit apud Hesych. et diverso sensu Soph. Fr. 415. unde *ἐνθρίακτος* Soph. Fr. 489. Utitur autem verbo *ἀποθριάζειν* pro *ἀποθερίζειν*, ut allusio sit ad vocem *θρῖον*. Soph. Aj. 238. *γλῶσσαν ἄκραν | ῥίπτει θερίσας.* Eur. Hel. 1188. *ἔκ τε κρατὸς εὐγενοῦς | κόμας — ἀπέθρισας.* Apoll. Rh. II. 603. *παρέθρισεν ἄκρα κόρυμβα.* Aelian. de N. A. II. 10. *ἀποθρίσαντες τῆς ἵππου τὴν χαίτην.* Allusionem praeterea huic verbo inesse ad voc. *Θρᾷκες* suspicatur Berglerus, qui similiter ludi monet in vocibus *Θρᾷξ* et *θράττειν* ab Theodoro apud Arist. Rhet. III. 11. Ceterum verpos fuisse Odomantas, et reliquos fortasse Thracas, ex hoc loco suspicari licet, nisi jocatur tantum Comicus (cf. ad 157.).

Schol. ἀποτέθρακεν: 'Απέτιλε. κυρίως δὲ ἀπεφύλλισε συκᾶς. θρῖα γὰρ τὰ φύλλα τῆς συκῆς. ἐλειαίνοντο δὲ καὶ ἀπετίλλοντο οἱ Θρᾷκες τὰ αἰδοῖα καὶ ἀποσεσυρμένα εἶχον αὐτά.

159. *δύο δραχμάς*] Sc. *τῆς ἡμέρας.* Unam tantum drachmam accipere debebant Thraces qui Siculo bello ob inopiam pecuniae domum remissi sunt. V. Boeckh. Oecon. I. 363.

160. *καταπελτάσονται*] Schol: *καταπολεμήσουσι.* Thraces, ut notum est, in usu *πέλτης* et *ἀκοντίου* excellebant. Hesychius, *Καταπελτάσονται· καταδραμοῦνται, ἀπὸ τῶν πελταστῶν.* Thuc. II. 29. *πείσειν γὰρ Σιτάλκην πέμψαι στρατιὰν Θρᾳκικὴν 'Αθηναίοις ἱππέων τε καὶ πελταστῶν.* Lys. 563. *ἕτερος δ' αὖ Θρᾷξ πέλτην σείων κἀκόντιον ὥσπερ ὁ Τηρεύς.* Xen. Mem. III. 9. 2. *δῆλον μὲν γὰρ ὅτι Σκύθαι καὶ Θρᾷκες οὐκ ἂν τολμήσειαν ἀσπίδας καὶ δόρατα λαβόντες Λακεδαιμονίοις διαμάχεσθαι* (*μάχεσθαι* al.), *φανερὸν δὲ ὅτι καὶ Λακεδαιμόνιοι οὔτ' ἂν Θρᾳξὶν ἐν*

πέλταις καὶ ἀκοντίοις οὔτε Σκύθαις ἐν τόξοις ἐθέλοιεν ἂν διαγωνίζεσθαι." ELM.

Schol. *καταπελτάσονται: Κατακοντίσουσι, καταπολεμήσουσι. πέλτη γὰρ εἶδος μηχανῆς ἀφ' ἧς ἀκόντια καὶ ἄλλα τινὰ ἀφιᾶσιν. ἢ καταδραμοῦνται. πέλτη γὰρ ἀσπὶς μικρὰ (μὴ ἔχουσα ἱμάντα. ἐχθροὶ δὲ ἦσαν καὶ οἱ Βοιωτοὶ τοῖς Ἀθηναίοις.)*

161. *ἀπεψωλημένοις*] Verpis, degluptis. De libidinosis saepe adhibetur. Cf. 592. Pac. 903. Lys. 1136. Pl. 295.

162. Cf. Thuc. VI. 31. *ἐπιφορὰς πρὸς τῷ ἐκ δημοσίου μισθῷ διδόντων τοῖς θρανίταις.* ubi schol. *οἱ θρανῖται μετὰ μακροτέρων κωπῶν ἐρέττοντες πλείονα κόπον ἔχουσι τῶν ἄλλων. διὰ τοῦτο τούτοις μόνοις ἐπιδόσεις ἐποιοῦντο οἱ τριηράρχαι, οὐχὶ δὲ πᾶσι τοῖς ἐρέταις.* DIND. Cf. Eur. Cycl. 198. *ἐπεὶ τὰν μεγάλ' ἂν ἡ Τροία στένοι.* V. Duker. ad Thuc. IV. 35. De *θρανιτικαῖς κώπαις* v. Athen. lib. V.

θρανίτης λεώς] Cf. Pac. 632. *οὑργάτης λεώς.* Pac. 921. *τὸν δημότην καὶ τὸν γεωργικὸν λεών.* Eq. 224. *ὅ τε πένης — λεώς.* Aesch. Pers. 375. *πάντα ναυτικὸν λεών.* Sept. 80. *λεὼς — ἱππότας.* Soph. Oed. C. 898. *λεὼν — ἱππόταν.* Aj. 565. *ἐνάλιος λεώς.* Eur. Iph. A. 295. *ναυβάταν — λεών.* Eq. 567. *ναυφάρκτῳ στρατῷ.* Eccl. 574. *πολίτην δῆμον.* Hec. 921. *ναύταν — ὅμιλον.*

Schol. *ὁ θρανίτης λεώς: Ἀντὶ τοῦ ὁ ναυτικός. ἐκ μέρους δὲ τὸ πᾶν εἶπε. τῶν γὰρ ἐρεττόντων οἱ μὲν ἄνω ἐρέττοντες θρανῖται λέγονται, οἱ δὲ μέσοι ζυγῖται, οἱ δὲ κάτω θαλάμιοι. ὁ δὲ λόγος, εἰ οἱ Ὀδόμαντες τοσαῦτα λαμβάνουσι, πᾶν τὸ παρ' ἡμῖν ναυτικὸν πλῆθος ἀγανακτήσει, πολλὰ μὲν ἐν ταῖς τριήρεσι κάμνοντες, ὀλίγα δὲ λαμβάνοντες.*

163. *σωσίπολις*] Cf. v. *ῥυσίπολις* Aesch. Sept. 121.

οἴμοι τάλας] Saepe hoc legitur, ut *οἴμοι κακοδαίμων, οἴμοι δείλαιος, αἰβοῖ τάλας* (957), etc. Cf. Eq. 858. 887.

τάλας] Producitur ultima. Cf. 1018. 1192. 1210. Pac. 79. 280. Av. 1494. Pl. 930. Sed ultima in *τάλαν* corripitur, Eccl. 658. 1005.

Schol. *οἴμοι τάλας: Δεῖ νοεῖν ὅτι ἐκ τῶν ἀγρῶν ἔρχεται ὁ Δικαιόπολις ἔχων φορτίον σκορόδων καὶ ἐπηρεάζεται ὑπὸ τῶν ξένων, ὡς ἐκείνων λιμωττόντων καὶ ἁρπαζόντων τὰ σκόροδα. (τοῦτο δὲ εἶπε πορθούμενος, παρόσον καὶ οἱ πορθούμενοι ἀπόλλυνται.) ἀρέσκονται δὲ τοῖς σκορόδοις οἱ Θρᾷκες οὐκ ἀπεικότως· θερμὰ γὰρ τὰ σκόροδα φυσικῶς, οἱ δὲ Θρᾷκες ψυχρὰν χώραν νέμονται.*

164. *τὰ σκόροδα*] Cibaria secum in concionem attulerat Dicaeopolis, de quo more noster Eccl. 306. ELM.

πορθούμενος] Ridicule de se loquitur Dicaeopolis tanquam de regione quae vastatur, rapacitatem Thracum notans: proprie enim *γῆ πορθεῖσθαι* aut *πέρθεσθαι* dicitur. Cf. Th. 243. *καταπεπυρπολημένος.*

165. *Schol.* *οὐ καταβαλεῖτε: Ὁ Θέωρος δὲ ἐπιπλήττει τοῖς βαρβάροις ἁρπάζουσι τὰ σκόροδα.* (166.) *καὶ τῷ Δικαιοπόλιδι ὁμοίως ἐπιπλήττει ἐρεθίζοντι αὐτούς. Εἰς τὸ αὐτό. ἀντὶ τοῦ σφοδροῖς οὖσι καὶ πικροῖς γενομένοις, μετειληφόσι τῶν σκορόδων. ἀπὸ μεταφορᾶς τῶν ἀλεκτρυόνων.*

τούτοις γὰρ, ὅτε μέλλουσι μάχεσθαι, σκόροδα δίδοται ἐσθίειν, ἵνα θερμανθέντες ὀξύτεροι γένωνται, ὡς καὶ ἐν Ἱππεῦσί φησιν [494.]
"*ἵν' ἄμεινον, ὦ τᾶν, ἐσκοροδισμένος μάχῃ.*"

166. *οὐ μὴ πρόσει —;*] Noli accedere. Cf. Ran. 607. *ἐς κόρακας. οὐ μὴ πρόσιτον; AI. εἶεν· καὶ μάχει;* Nub. 367. *οὐ μὴ ληρήσεις;* 296. *οὐ μὴ σκώψει μηδὲ ποιήσεις ἅπερ —;* 505. *οὐ μὴ λαλήσεις ἀλλ' ἀκολουθήσεις ἐμοί;* Vesp. 397. *οὐ μὴ καταβήσει;* Th. 1108. Ran. 298. 462. 524. Eur. Hipp. 607. *οὐ μὴ προσοίσεις χεῖρα μηδ' ἅψει πέπλων;* Andr. 757. *οὐ μὴ γυναικῶν δειλὸν εἰσοίσεις λόγον;* V. Elmsl. ad Med. p. 251. In fine versus male signum interrogationis omittit Muller.

ἐσκοροδισμένοις] Propterea vetat aliquem accedere ad Odomantos quia devorato allio acriores sint facti et pugnaciores, nempe ut galli acrius pugnant gustato allio. Eq. 494. *ἵν' ἄμεινον, ὦ τᾶν, ἐσκοροδισμένος μάχῃ.* Ex scholiis. BE. "Hesychius: *Ἐσκοροδισμένος· σκόροδα βεβρωκώς. Ἀριστοφάνης ἐν Ἀχαρνεῦσι παίζει ἅμα μὲν ὅτι σκοροδοφαγοῦσι οἱ Θρᾷκες, ἅμα δὲ ὅτι παροξύνονται οἱ ἀλέκτορες πρὸς τὰς μάχας, ὅταν ἐμφάγωσι τῶν σκορόδων.* V. Eq. 494. Activum *ἐσκορόδισας* est in ejusdem fabulae v. 946." ELM. Xen. Symp. IV. 9. *εἰς μὲν γὰρ μάχην ὁρμωμένῳ καλῶς ἔχει κρόμμυον ὑποτρώγειν, ὥσπερ ἔνιοι τοὺς ἀλεκτρυόνας σκόροδα σιτίσαντες συμβάλλουσιν.*

167. Cf. Ran. 1476. *ὦ σχέτλιε, περιόψει με δὴ τεθνηκότα;* 508. Th. 698. *τοῦ μόνου | τέκνου με περιόψεσθ' ἀποστερουμένην;* Lys. 1019. *οὔ σε περιόψομαι | γυμνὸν ὄνθ'.* Nub. 124. *ἀλλ' οὐ περιόψεταί μ' ὁ θεῖος Μεγακλέης | ἄνιππον ὄντ'.* Pac. 10. *εἰ μή με βούλεσθ' ἀποπνιγέντα περιιδεῖν.* Eccl. 1054. *μηδαμῶς με περιίδῃς | ἑλκόμενον ὑπὸ τῆσδ'.* 369. Herod. VIII. 75. *ἢν μὴ περιίδητε διαδράντας αὐτούς.*

οἱ πρυτάνεις] Ut *οἱ τοξόται* 54, *ἀγορανόμοι* 824. *ὁ περιστίαρχος* Eccl. 128. *ἡ κιθαρῳδὸς* 739. *ὁ μηχανοποιὸς* Fr. 234. *ἡ Μαρία* Amips. II. 701.

168. *ἐν τῇ πατρίδι — βαρβάρων* sine distinctione malit Dobraeus ad Pl. 546. Recte, opinor. Non enim minus ad *ἐν τῇ πατρίδι* quam ad *ὑπ' ἀνδρῶν βαρβάρων* pertinere videtur *καὶ ταῦτα.* Cf. Ran. 704. *τὴν πόλιν καὶ ταῦτ' ἔχοντες κυμάτων ἐν ἀγκάλαις.* Lys. 469. *οὐκ οἶσθα λουτρὸν οἷον αἵδ' ἡμᾶς ἔλουσαν ἄρτι | ἐν τοῖσιν ἱματιδίοις, καὶ ταῦτ' ἄνευ κονίας;* Pac. 541. Vesp. 252. 551. 943. 1184. 1189. Eccl. 401. Pl. 272. 546. Aesch. Eum. 575. *οὐ γάρ τι ταὐτὸν ἄνδρα γενναῖον θανεῖν — καὶ ταῦτα πρὸς γυναικός.* Soph. Oed. R. 37. El. 613.

168. *ἀνδρῶν βαρβάρων*] Plerique enim lictores Scythae erant. V. schol. et Phot. p. 595, 5. *Τοξόται: καὶ Σκύθαι καὶ Σπουσίνιοι· οἱ δοῦλοι οἱ δημόσιοι Ἀθήνῃσιν, ἀπὸ Σπουσίνου τοῦ πρῶτον καταστήσαντος αὐτοὺς ἐπὶ τὴν ὑπηρεσίαν.* Cf. Lys. 451. 455. Th. 1017. 1026. 1112. 1116. 1121. 1186. Primo quidem, i. e. post Persica, numero 300 erant (Aesch. de F. l. 173. *καὶ τριακοσίους Σκύθας ἐπριάμεθα*): postea (circ. Ol. 83, 3.) auctus numerus illorum ad 1200. (Aesch. ibid.).

169. *ποιεῖν ἐκκλησίαν*] Cf. Eq. 746. Th. 375. Aeschin. 59, 13.

171. *διοσημία*] Ostentum. Schol: *ὁ παρὰ καιρὸν χειμών*. Cf. Diod. Sic. II. 19. Plut. etc. Confer voc. *εὐσημία*. Hoc loco ingruens pluvia pro ostento habetur. Solebat autem concio dimitti, si tale quid fieret: quin et alia negotia tunc solebant suspendi et ob alia ostenta. Eccl. 791. *σεισμὸς εἰ γένοιτο πολλάκις | ἢ πῦρ ἀπότροπον, ἢ διάξειεν γαλῆ, | παύσαιντ' ἄν*. "Congregato in concione populo si tempestas subito ingrueret vel omen aliquod inauspicatum se offerret, solvebatur illico concio et in alium diem indicebatur." BR. Cf. Nub. 583. Eccl. 791. Plut. Nic. 10. Hom. Il. *μ'*. 209. *Διὸς τέρας αἰγιόχοιο*. *β'*. 308. *ἔνθ' ἐφάνη μέγα σῆμα δράκων*. Schoemann. de comit. p. 148.

ῥανίς] I. q. *ψιάς* (Il. *π'*. 459. Hes. Scut. 384.) aut *ψεκάς*. Cf. Ran. 1312. Eur. Andr. 227. *οὐδὲ ῥανίδ' ὑπαιθρίας δρόσου*. Ion. 106. *ὑγραῖς ῥανίσιν*. Iph. T. 643. Iph. A. 1515.

βέβληκέ με] Cf. Pl. 1053. *ἐὰν γὰρ αὐτὴν εἷς μόνος σπινθὴρ βάλῃ*, etc.

Schol. *διοσημί' ἐστί*: *Παρεφυλάττοντο γὰρ οἱ Ἀθηναῖοι τὰς τοῦ Διὸς ἡμέρας, καὶ διέλυον τὰς ἐκκλησίας διοσημίας γενομένης ἢ ἄλλο τι μέλλοντες ἀνύειν. διοσημία δέ ἐστιν ὁ παρὰ καιρὸν χειμών.*

ῥανίς: *Σταλαγμὸς, σταγών*. Vict.

172. *τοὺς Θρᾷκας ἀπιέναι*] Cf. 1000. Pac. 551. *ἀκούετε λεῴ· τοὺς γεωργοὺς ἀπιέναι — εἰς ἀγρόν*. Av. 448. *ἀκούετε λεῴ· τοὺς ὁπλίτας ἀπιέναι*. Vesp. 937. *Λάβητι μάρτυρας παρεῖναι*. Eupol. II. 566. *τοὺς περιπόλους* (adde *νῦν* aut *τάχ'*?) *ἀπιέν' εἰς τὰ φρούρια*.

εἰς ἕνην] Perendie. I. q. *ἐς τρίτην ἡμέραν* (Lucian. D. D. X. 1.). Per *εἰς τρίτην* explicat schol., allato Hesiod. Op. 408.

Schol. *παρεῖναι δ' εἰς ἕνην*: *Οἷον εἰς τρίτην*. [Hesiod. Op. 408.] "*μὴ δ' ἀναβάλλεσθαι ἔς τ' αὔριον ἔς τ' ἔννηφι*." *τινὲς δὲ εἰς τριακάδα. διαλυθείσης δὲ τῆς ἐκκλησίας συνήγοντο πάλιν βουλευόμενοι* (*βουλευσόμενοι*?) *περὶ τῶν αὐτῶν. Ἀττικοὶ δὲ καλοῦσιν ἕνην καὶ τὴν παλαιάν. καὶ Δημοσθένης ἐν τῷ κατὰ Ἀριστογείτονος* [p. 775, 25.] "*τὰς ἕνας ἀρχὰς ταῖς νέαις ὑπεξιέναι*."

173. Meminerint tirones *λύεσθαι μὲν τὴν ἐκκλησίαν, ἀφίεσθαι δὲ τὴν βουλὴν καὶ τὰ δικαστήρια*. Vide Eq. 674. Vesp. 595. Eccl. 377. ELM.

174. *μυττωτὸν ὅσον ἀπώλεσα*] Quantum moretum perdidi. Quia personati illi Thraces allia quae secum adtulerat abripuerant et comederant. Alliorum autem praecipuus usus in moreti confectione, ut ostendit Virgilii carmen. BRUNCK.

Schol. *μυττωτόν*: *Ἀντὶ τοῦ σκόροδα, ἐξ ὧν ὁ μυττωτὸς γίνεται. κατασκευάζεται δὲ ἀπὸ τυροῦ καὶ σκορόδου καὶ ᾠοῦ. ἀπὸ τοῦ παντὸς οὖν κατασκευάσματος τὸ μέρος ἐδήλωσε, τουτέστι τὰ σκόροδα.*

176. *μήπω πρὶν ἄν γε στῶ τρέχων*] Cf. Ach. 296. *μηδαμῶς πρὶν ἄν γ' ἀκούσητ'*. Eq. 961. *μὴ δῆτά πώ γ' — πρὶν ἄν γε τῶν χρησμῶν ἀκούσῃς τῶν ἐμῶν*. Vesp. 920. *μὴ προκαταγίγνωσκ', ὦ πάτερ, | πρὶν ἄν γ' ἀκούσῃς ἀμφοτέρων*. Ran. 78. *οὐ πρίν γ' ἂν — κωδωνίσω*. 845. *οὐ δῆτα πρίν γ' ἂν — ἀποφήνω*. 1281. *μὴ πρίν γ' ἂν ἀκούσῃς*. Av. 585. *μὴ πρίν γ' ἂν ἐγὼ — ἀποδῶμαι*. Eccl. 857. *οὐ δῆτ' — πρὶν ἄν γ' ἀπενέγκῃς*.

770. *φυλάξομαι | πρὶν ἄν γ' ἴδω* etc. 695. *οὐκ, ἢν οἴκοι γε καθεύδῃς.* Eur. Her. 966. *οὐχ ὅντιν' ἄν γε ζῶνθ' ἕλωσιν ἐν μάχῃ.* Cycl. 562: *ναὶ* (l. *οὐ*) *μὰ Δί' οὐ πρὶν ἄν γε σε | στέφανον ἴδω λαβόντα.*

πρὶν ἄν γε στῶ τρέχων] Anglice, until I stop running. Cf. Dem. p. 134, 3. *οὐ στήσεται πάντας ἀνθρώπους ἀδικῶν.*

Schol. μήπωγε: Γελοίου χάριν εἶπε πρὸς τὸ χαίρειν τὸ μήπω.

177. *φεύγοντ' ἐκφυγεῖν*] Cf. Nub. 167. *ἦ ῥᾳδίως φεύγων ἂν ἀποφύγοι δίκην.* Eur. Phoen. 1231. *ἢν μή με φεύγων ἐκφύγῃς πρὸς αἰθέρα.* Xen. An. II. 5. 7. *τὸν γὰρ θεῶν πόλεμον οὐκ οἶδα οὔτ' ἀπὸ ποίου ἂν τάχους φεύγων τις ἀποφύγοι* etc. Hom. Il. ξ. 81. *βέλτερον ὃς φεύγων προφύγῃ κακὸν ἠὲ ἁλώῃ.* Herod. V. 95. *αὐτὸς μὲν φεύγων ἐκφεύγει.* VI. 82. *ἀπέφυγε πολλὸν τοὺς διώκοντας.* IV. 23. *ὃς ἂν φεύγων καταφύγῃ ἐς τούτους, ὑπ' οὐδενὸς ἀδικέεται.* Plat. Hipp. Maj. 292 A. *ἂν μὴ ἐκφύγω φεύγων αὐτόν.* Legg. 762 B. *εἰς ἕτερον ἀεὶ τόπον φεύγοντες ἀποφευξεῖσθαι.* Plut. Anton. 64. *λέγων ὅτι δεῖ μηδένα φεύγοντα τῶν πολεμίων διαφυγεῖν.*

Ἀχαρνέας] Acharnenses persequuntur Amphitheum quod sensissent eum pacem ferre; adversantur autem paci prae ceteris Atheniensibus, quia eorum pagus Acharnae erat maximus et praecipue augebat militiam Atheniensium, teste Thucydide II. 19. Hinc sperabant fore ut adhuc ulciscantur Lacedaemonios, qui ipsorum agros vastaverant. BE. Maximus et praecipuus Atticorum demorum fuit Acharnae, hodie Menidki, cujus vestigia nonnulla hodieque restant. Sexaginta stadia ab urbe distabat (Thuc. II. 21.). Pluribus idem templis ornatum fuit. Hic unus pagus tria hoplitarum millia in usum reipublicae praebeat, ut ex Thucydide discimus. Virtutem eorum praedicat Pindarus N. II. 24. *Ἀχάρναι δὲ παλαίφατον εὐάνορες.* Hinc Lacedaemoniorum gravis ira et acre odium in incolas ejus. "Praeter hanc fabulam memorantur Eupolidis *Προσπάλτιοι*, Strattidis *Ποτάμιοι*, Antiphanis *Φρεάρριος*, Menandri *Ἁλαιεὺς*, Philippidis *Λακιάδαι*, et aliae fortasse, quae nomina a pagis Atticis acceperunt. De nostri *Ἀναγύρῳ* dubitandi locus est." ELM.

178. Cf. Pac. 666. *σπονδῶν φέρουσα τῇ πόλει κίστην πλέαν.*

179. *ὤσφροντο*] Hesychius, *Ὠσφρῶντο: σύνηκαν, ᾔσθοντο, ἔγνωσαν.* Huc sine dubio respexit grammaticus, sed depravatam scripturam secutus est. Eodem vitio laborat Antiphanes apud Athen. p. 299 E., ubi pro *ὀσφρᾶσθαι* reponendum *ὀσφρέσθαι.* Sincera forma *ὀσφρόμενος* legitur in Vesp. 792. In Thesm. 495. fere cum Dawesio (p. 320.) scribendum *ἵν' ὀσφρόμενος ἁνὴρ ἀπὸ τείχους εἰσιών.* Maluit Dawesius *ἀπὸ τοῦ τείχους ἰὼν*, sed articulus recte abest, ut in Av. 497. *ἔξω τείχους.* Praeterea *ὀσφραίνεσθαι* male tribuitur Eupolidi apud Priscianum p. 1193. Legendum *προσένεγκέ μοὐγγὺς τὸ στόμ' ὀσφρέσθαι τὸ σόν.* Recentiores formam prorsus diversam usurparunt. *Ὀσφρανθῶσι* habet Philemo apud Athen. p. 289 A. *ὀσφράνθητι* Macho apud eundem p. 577 F. Futurum *ὀσφρήσεται* habet noster Pac. 152. Cum recte dicatur *τεῖχος* sine articulo, malim in Av. 1119. *ἀλλ' ὡς ἀπὸ τείχους οὐ πάρεστιν ἄγγελος* |

οὐδεὶς, ὅτου πευσόμεθα τἀκεῖ πράγματα. Vulgo paullo minus recte omittitur particula negans ante verbum. ELM. Adde Philonidem Athen. p. 228. *ὀσφρομένην τῶν τηγάνων.* Herod. I. 80. *ὤσφραντο* (*ὠσφραντο* al. qu. *ὤσφροντο* aut *ὀσφραίνοντο*).

Schol. (*ὤσφροντο*: *Ἀντὶ τοῦ ᾔσθοντο εἶπε τὸ ὤσφροντο ὅτι δι' οἴνου εἰσὶν αἱ σπονδαὶ, ὡς ἐκ τῶν μετὰ ταῦτα δῆλον. δι' ὀσφρήσεως δὲ ἡ αἴσθησις τῆς ἀναφορᾶς τοῦ οἴνου.*)

180. *Ἀχαρνικοί*] Pro *Ἀχαρνῆς.* Cf. 324. 329. Th. 563. Formatum ut *Λακωνικοὶ* Nub. 186. etc. Timocles com. III. 594. *ὁ δ' Ἀχαρνικὸς Τηλέμαχος* etc. Sed idem III. 603. *Τηλέμαχον δ' Ἀχαρνέα.* Sic *Λάκων* et *Λακωνικὸς* (Nub. 186. Lys. 628. etc.), *Αἰξωνεὺς* (Menand. IV. 144.) et *Αἰξωνικὸς* (Nausicr. IV. 575.), etc.

στιπτοί] *ἄνθρακες στιπτοὶ* memorantur Theophr. Ign. 37.: quo aptius *στιπτοὶ* hic dicuntur carbonarii.

πρίνινοι] Iligni. Anglice, hard as oak. *Πρῖνος* est quercus coccifera, cujus lignum admodum durum est. Etiam hodie in Attica ex illo manubria ligonibus aliisque instrumentis rusticis fabricantur et carbones fiunt. Cf. 668. *ἀνθράκων πρινίνων.* Vesp. 877. *στρυφνὸν καὶ πρίνινον ἦθος.* 383. *ἀμυνούμεν σοι τὸν πρινώδη θυμὸν ἅπαντες καλέσαντες.* Hesiod. Op. 429. *πρίνινον (γύην)· ὃς γὰρ βουσὶν ἀροῦν ὀχυρώτατός ἐστιν.* 434. *δρυὸς ἔλυμα, πρίνου δὲ γύην.* Lucian. Quom. h. s. c. 9. *ἀθλητὴν τῶν καρτερῶν τούτων καὶ κομιδῇ πρινίνων.* "Julian. Misopog. p. 350 D. *οἵ σε ἐπαιδοτρίβησαν καθ' ἡμῶν πρίνινον, σφενδάμνινον, οὐκέτι μέντοι καὶ Μαραθωνομάχην, ἀλλ' Ἀχαρνέα μὲν ἐξ ἡμισείας, ἀηδῆ δ' ἄνδρα παντάπασι καὶ ἄνθρωπον ἄχαριν.* Simili sensu ab alio comico dictum *δρυαχαρνεῦ* memorant Hesychius et Etym. M. s. h. v." (Dind.) Theophrast. H. Pl. V. 4. 8. *καὶ τὸ τῆς μυρίκης ξύλον ἰσχυρὸν ὥσπερ πρίνινον.* Virg. Aen. VIII. 315. 'gensque virum truncis et duro robore nata.'

Schol. *στιπτοὶ γέροντες*: *Ἀντὶ τοῦ πυκνοί. εἴρηται δὲ ἀπὸ τῶν ἐσθήτων, αἵτινες ὑφανθεῖσαι εἰς πυκνότητα συνάπτονται* (*συμπατοῦνται* Elmsl. ex Poll. VII. 38.) (*ἢ ἀντὶ τοῦ στερεοὶ καὶ πεπιλημένοι, ἀπὸ τοῦ στείβειν, ὅ ἐστι πατεῖν.*)

πρίνινοι: *Στερεοὶ καὶ σκληροί.* (*ἰσχυρὸν γὰρ τὸ τῆς πρίνου ξύλον. καὶ*) *Ἡσίοδος* [Op. 434.] "*πρίνου δὲ γύην.*" *καὶ πάλιν* [427.]

"*πρίνινον, ὃς γὰρ βουσὶν ἀροῦν ὀχυρώτατός ἐστιν.*".

ἀτεράμονες δὲ λίαν σκληροὶ, μὴ τειρόμενοι, ἀνένδοτοι. κυρίως δὲ τὰ μὴ ἑψόμενα τῶν ὀσπρίων ἀτεράμονα λέγεται, (*οἷον οὐχ ἁπαλά*).

181. *ἀτεράμονες*] Inflexibiles, immites. Metaphorice. Schol: *κυρίως δὲ τὰ μὴ ἑψόμενα τῶν ὀσπρίων ἀτεράμονα λέγεται, οἷον οὐχ ἁπαλά.* Zonaras Lex p. 914. *ἀτέραμνον τὸ δυσέψατον. οὕτως Πλάτων.* Cf. Vesp. 730. *μηδ' ἀτενὴς ἄγαν ἀτεράμων τ' ἀνήρ.* Aristaen. II. 20. *ὡς φιλόνεικος — ὡς ἀτεράμων, ὦ γῆ καὶ θεοί.* Plat. Legg. IX. 652 A. *ὃς ἀτεράμων εἰς τοσοῦτον φύσει γίγνοιτ' ἂν ὥστε μὴ τήκεσθαι καθάπερ ἐκεῖνα τὰ σπέρματα πυρί.* Legg. IX. 663 C. *ἀτεράμονι χρωμένων τινὶ φύσει καὶ μηδὲν τεγχθέντων.* Philostr. V. Apoll. III. p. 111. *ἀτεράμονα καὶ ὠμὸν δόξαι.*

Damascium ap. Phot. p. 1036. *οὐδεὶς οὕτως ἦν τὴν ψυχὴν ἀτεράμων καὶ βάρβαρος.* Aesch. Prom. 198. *τὴν δ' ἀτέραμνον στορέσας ὀργήν.* Polyb. IV. 21. 4. *τὸ τῆς ψυχῆς ἀτέραμνον ἐξημεροῦν καὶ πραΰνειν.* Eust. p. 1043, 2. *πέτραις ὅμοιος εἶ τὴν σκληρότητα ὡς ἀτεράμων* etc. Theocr. X. 7. *πέτρας ἀπόκομμ' ἀτεράμνω* (ᾰ). V. Blomf. Gl. Prom. 198. 1098.

Schol. ἀτεράμονες: Ἀκαμπεῖς. Vict.

μαραθωνομάχαι] Cf. Nub. 986. *ἄνδρας μαραθωνομάχας* (-*ους* libri). Similiter nos dicimus Waterloo-men, Peninsula-men. Cf. Pind. Ol. VII. 15. *εὐθυμάχαν — ἄνδρα.* Notandae autem in h. v. tres disjunctae dipodiae.

σφενδάμνινοι] Acerni. Anglice, tough as maple. Cf. Cratin. II. 177. *τράπεζαι τρισκελεῖς σφενδάμνιναι.* Synesium Epist. 56. *καὶ τοῦ λοιποῦ σφενδαμνίνῳ μοι καὶ ἀκλινεστέρῳ συνέσεσθαι.* Virg. Aen. VIII. 315. 'Gensque virum truncis et duro robore nata.' *Σφένδαμνος* est acer. Theophr. H. Pl. III. 3. 1. Apte dictum de Acharnensibus, qui carbonarii erant.

Schol. σφενδάμνινοι: Ἰσχυροί. τοιοῦτον γὰρ τὸ τῆς σφενδάμνου ξύλον. ἀντὶ τοῦ σφενδονῆται. (*Ἄλλως. τὸ σφενδάμνινοι ταυτόν ἐστι τῷ πρίνινοι. σφένδαμνος γὰρ εἶδος ἰσχυροῦ ξύλου. ἔστι δὲ καὶ εἶδος καννάβεως ἡ σφένδαμνος· ἡ γὰρ σφενδόνη ἀπὸ καννάβεως γίνεται.*)

183. *σπονδὰς φέρεις*] Cf. 186. 1053. Pac. 666. *σπονδῶν φέρουσα τῇ πόλει κίστην πλέαν.*

τῶν ἀμπέλων τετμημένων] Vites enim eorum maxime a Peloponnesiis vastatae erant. Cf. 512. *κἀμοὶ γάρ ἐστιν ἀμπέλια κεκομμένα.* Pac. 628. *ἐν δίκῃ μὲν οὖν, ἐπεί τοι τὴν κορώνεών γέ μου | ἐξέκοψαν.*

Schol. (*τῶν ἀμπέλων τετμημένων: Οἱ γὰρ Πελοποννήσιοι εἰσβάλλοντες εἰς τὴν Ἀττικὴν ἔτεμνον τὴν γῆν τῶν Ἀχαρνέων.*

184. *Schol. κὰς τοὺς τρίβωνας: Ἀττικὸν τὸ σχῆμα. ἀντὶ τοῦ ἐς τοὺς τρίβωνας ξυνελέγοντο τοὺς λίθους.*

186. *οἱ δ' οὖν βοώντων*] Cf. Lys. 491. *οἱ δ' οὖν — δρώντων ὅ τι βούλονται.* Vesp. 6. *σὺ δ' οὖν παρακινδύνευ'.* 765. *σὺ δ' οὖν — βάδιζ'.* Th. 612. *σὺ δ' οὖν ποίει τοῦτ'.* Av. 56. *σὺ δ' οὖν λίθῳ κόψον λαβών.* Nub. 39. *σὺ δ' οὖν κάθευδε.* Ran. 31. *σὺ δ' οὖν — τὸν ὄνον ἀράμενος φέρε.* Soph. Aj. 961. *οἱ δ' οὖν γελώντων κἀπιχαιρόντων κακοῖς.* Oed. R. 669. *ὁ δ' οὖν ἴτω.* Tr. 329. *ἡ δ' οὖν ἐάσθω.* Aesch. Prom. 935. *ὁ δ' οὖν ποιείτω.* Eum. 217. *σὺ δ' οὖν δίωκε.* 848. Eur. Andr. 258. *σὺ δ' οὖν κάταιθε.* Herc. 726. *σὺ δ' οὖν ἴθ'.* Rhes. 868. *σὺ δ' οὖν νόμιζε ταῦτ', ἐπείπερ σοι δοκεῖ.* Herod. IX. 48. *οἱ δ' ὦν μετέπειτα μαχέσθων ὕστεροι.*

βοώντων] Cf. Nub. 453. *δρώντων.* 456. *παραθέντων.* 196. *ἐπιμεινάντων.* Soph. Aj. 660. *σῳζόντων* (imper.). 961. *γελώντων.* Dem. p. 746. *δησάντων* (imper.).

τὰς σπονδὰς φέρεις;] Cf. 186. 1053. Pac. 666. *σπονδῶν φέρουσα τῇ πόλει κίστην πλέαν.*

187. *γεύματα*] Angl. samples. Ephipp. III. 337. *γεύματ' οἴνων.* Diph. IV. 376. *βαδίζειν εἰς τὰ γεύμαθ'.* Plut. Nic. 29. *τῶν ἀφικνουμένων ἑκά-*

στοτε δείγματα καὶ γεύματα κομιζόντων (sc. Euripidis poesis). Plat. Hipparch. 228. γεῦμα λαμβάνοντες αὐτοῦ τῆς σοφίας. Fr. 285. γευστήριον. Antiph. com. III. 46. οἰνογευστεῖν.

Schol. τρία γε ταυτί: Ἔπαιξε παρὰ τὰς σπονδὰς, ἐπεὶ οἴνῳ γίνονται αἱ δι' ὅρκων συνθῆκαι. ἀντὶ δὲ τοῦ εἰπεῖν ἀνάγνωθι εἶπεν γεῦσαι.

189. αἰβοῖ] Indignantis exclamatio. Cf. Av. 610. Nub. 102. 829. 906. Eq. 891. 957. Vesp. 37. 973. 1338. Pac. 15. 544. 1066. 1291. Av. 1055. 1341.

οὐκ ἀρέσκουσίν μ'] Cf. Ran. 103. σὲ δὲ ταῦτ' ἀρέσκει; Plat. Crat. 391 D. εἰ μὴ αὖ σε ταῦτα ἀρέσκει. Rep. VIII. 557 B. Legg. III. 702 C. etc.

190. ὄζουσι πίττης] Picem enim aliquando cum vino miscebant servandi ejus causa. Schol: κοινὸν ἐπὶ οἴνου καὶ νεὼς τὸ πίσσης ὄζειν· ἔστι γὰρ πισσίζων οἶνος. Cf. 100. 196. Eq. 1332. οὐ χοιρινῶν ὄζων ἀλλὰ σπονδῶν. Nub. 1007. Pac. 526. 529.

πίττης] Ran. 364. ἀσκώματα καὶ λίνα καὶ πίτταν διαπέμπων εἰς Ἐπίδαυρον.

Schol. ὄζουσι πίττης: Κοινὸν ἐπὶ οἴνου καὶ νεὼς τὸ πίσσης ὄζειν. (ἔστι γὰρ πισσίζων οἶνος.) ὁ δὲ λόγος, ὄζουσιν αἱ σπονδαὶ αὗται κατασκευῆς τριήρων διὰ τὸ ὀλιγοχρόνιον αὐτῶν. (192.) (εἰς τὰς πόλεις δὲ τὰς τῶν συμμάχων.)

191. σὺ δ' ἀλλὰ] Cf. 1033. Nub. 1364. 1369. Lys. 904. Pac. 660. ἡ δ' ἀλλὰ πρὸς σε μικρὸν εἰπάτω μόνον. Eur. Her. 565. σὺ δ' ἀλλὰ τοῦδε χρῇζε. Med. 912. Rhes. 167. Elmsl. ad Eur. 565. Antiph. III. 88. σὺ δ' ἀλλὰ πῖθι.

192. χαὗται] Eadem crasis est Eccl. 503.

ἐς τὰς πόλεις] Schol: τὰς τῶν συμμάχων.

193. ὀξύτατον] Perquem acerbe. Schol: ἀπὸ μεταφορᾶς τοῦ τραπέντος οἴνου εἰς ὄξος. Alex. III. 447. καὶ τὸν μὲν ὀξὺν οἶνον ἐκπυτίζομεν. Cf. Pac. 526. οἷον δὲ πνεῖς ὡς ἡδὺ, κατὰ τῆς καρδίας, | γλυκύτατον ὥσπερ ἀστρατείας καὶ μύρου. Ach. 852. ὄζων κακὸν τῶν μασχαλῶν. Th. 254. ἡδύ γ' ὄζει ποσθίου. Ran. 338. ὡς ἡδύ μοι προσέπνευσε χοιρείων κρεῶν. Pac. 87. καὶ μὴ πνεῖ μοι κακὸν, ἀντιβολῶ σ'. Eq. 892. βύρσης κάκιστον ὄζων. Vesp. 38. ὄζει κάκιστον τοὐνύπνιον βύρσης σαπρᾶς. 913. τυροῦ κάκιστον ἀρτίως ἐνήρυγεν. Pherecr. Athen. p. 269 A. ἥδιστον ἀπαταμίζοντα. Id. p. 159 F. τοῦ στόματος ὄζει κακόν. Cratet. p. 690 D. γλυκύτατον δ' ὦζε βασιλείου μύρου. Cf. ad Pl. 1020. Similiter Lys. 943. οὐχ ἡδὺ τὸ μύρον μὰ τὸν Ἀπόλλω τουτογὶ, | εἰ μὴ διατριπτικόν γε κοὐκ ὄζον γάμων.

Schol. ὀξύτατον ὥσπερ διατριβῆς: Ἀντὶ τοῦ ἀπωλείας καὶ συντριβῆς. (ἢ ἀντὶ τοῦ μόναι πρεσβεῖαι ἔσονται περὶ τῶν συμμάχων, ὥστε μένειν αὐτοὺς καὶ μὴ μεθίστασθαι, ἀλλὰ συμμαχεῖν τῇ πόλει. Ἄλλως. ἀπὸ μεταφορᾶς τοῦ τραπέντος οἴνου εἰς ὄξος. καὶ τῶν οἴνων τὸ ὀξύτατον.

194. τριακοντούτιδες] Cf. 252. Eq. 1388. τὰς τριακοντούτιδας σπονδάς. 1391. κατατριακοντουτίσαι. Thuc. I. 23. ἤρξαντο δὲ αὐτοῦ Ἀθηναῖοι καὶ Πελοποννήσιοι λύσαντες τὰς τριακοντούτεις σπονδὰς, αἳ αὐτοῖς ἐγένοντο μετὰ Εὐβοίας ἅλωσιν. 115. (coll. 87).

195. ὦ Διονύσια] Hujus festi meminit quia in pace deinceps libere poterit celebrare Dionysia. BE.

Schol. ὦ Διονύσια: Θαυμάζων ταῦτα λέγει, προσδοκῶν εἰρήνης οὔσης τὴν τῶν Διονυσίων πανήγυριν ἔσεσθαι. (εἴρηται δὲ ἐπὶ τῶν ἀποδοχῆς ἀξίων. ἀντὶ τοῦ ἥδισται, ἄξιαι τῶν Διονυσίων. Διονύσια δὲ ἑορτὴ Διονύσου, ἣν ἦγον Ναυπάκτιοι.)

196. Cf. Hom. Od. ι. 359. ἀλλὰ τόδ' ἀμβροσίης καὶ νέκταρός ἐστιν ἀπορρώξ.

197. σιτί' ἡμερῶν τριῶν] Scilicet jubebantur milites in expeditionem bellicam profecturi cibaria sibi in triduum comparare. Cf. Pac. 312. οὐ γὰρ ἦν (sc. τὸ κήρυγμα) ἔχοντας ἥκειν σιτί' ἡμερῶν τριῶν. Thuc. I. 47. λαβόντες τριῶν ἡμερῶν σιτία ἀνήγοντο ὡς ἐπὶ ναυμαχίαν. Xen. An. VI. 2. 4. τὰ μὲν γὰρ ξένια οὐ μὴ γένηται τῇ στρατιᾷ τριῶν ἡμερῶν σιτία. Joseph. B. J. V. § 47. κελεύων εἰς τὴν ἐπιοῦσαν ἀναλαβόντας τὰ ὅπλα καὶ τριῶν ἡμερῶν τροφὴν — παραγενέσθαι. Eubul. III. 215. λαβόντας εἰς Ὑμηττὸν ἐξελθεῖν ὅπλα | καὶ σιτί' ἐπὶ μύρμηκας ἡμερῶν τριῶν. Dem. de Cor. 157. ἔχοντες ἐπισιτισμὸν ἡμερῶν τετταράκοντα. Alludit comicus etiam Eq. 1079. ἐγὼποριῶ καὶ τοῦτον (sc. τὸν μισθὸν) ἡμερῶν τριῶν. Vesp. 243. ἥκειν ἔχοντας ἡμερῶν ὀργὴν τριῶν πονηράν. Pac. 716. ὅσον ῥοφήσει ζωμὸν ἡμερῶν τριῶν.

Schol. (καὶ μὴ ἐπιτηρεῖν: Εἴ ποτε γὰρ ἔξοδος ἐπὶ στρατὸν ἐγένετο, εἰώθεσαν οἱ στρατηγοὶ προλέγειν τοῖς στρατιώταις ὥστε τριῶν ἡμερῶν παρασκευάζεσθαι σιτία. σκώπτει οὖν τοῦτο τὸ στρατηγικὸν παράγγελμα ὡς ἀηδὲς καὶ βαρὺ τοῖς εἰρήνης ἐπιθυμοῦσι.)

198. κἂν τῷ στόματι λέγουσι] Cf. 1134. Hom. Od. θ'. 459. Ὀδυσῆα ἐν ὀφθαλμοῖσιν ὁρῶσα. Il. ά. 587. ἐν ὀφθαλμοῖσιν ἴδωμαι. γ'. 306. ἐν ὀφθαλμοῖσιν ὁρᾶσθαι. Dem. 234, 25. ἐν τοῖν δυοῖν ὀβολοῖν ἐθεώρουν ἄν. 628, 1. τὴν τοῦ δήμου δωρεὰν, ἐν ᾗ πολίτης γέγονε. S. Paul. Ep. ad Rom. X. 9. ἐὰν ὁμολογῇς ἐν τῷ στόματί σου Κύριον Ἰησοῦν etc. Prosopopoeia hic est, eo aptior quia respicitur ad os amphorae seu vasculi in quo induciae istae ferebantur. Nisi ad gustum sive τόνον vini potius (Anglice the flavour) in ore bibentis alluditur. (Cf. Hesych. Γλύξις: ὁ ἀνειμένος οἶνος καὶ ἄγονος, ὃν ἔνιοι μὲν ἁπαλόστομον, οἱ δὲ γλεῦξιν. Cf. Hermipp. Athen. 29 E. (II. 410.) ἔστι δέ τις οἶνος, τὸν δὴ σαπρίαν καλέουσιν, | οὗ καὶ ἀπὸ στόματος, στάμνων ὑπανοιγνυμενάων, | ὄζει ἴων, ὄζει δὲ ῥόδων, ὄζει δ' ὑακίνθου. Similis lusus est in Fr. 231., ubi Σοφοκλέους et καδίσκου στόμα inter se componuntur. Confer etiam jactabundum illud Capanei dictum in Aeschyli Sept. 430. χρυσοῖς δὲ φωνεῖ γράμμασιν "Πρήσω πόλιν."

βαῖν' ὅποι θέλεις] Cf. Vesp. 1009. ἀλλ' ἴτε χαίροντες ὅποι βούλεσθ'. Nub. 891. ἴθ' ὅποι χρῄζεις. Eur. Fr. 721. ἴθ' ὅποι χρῄζεις. Thuc. V. 18. ἐξέστω ἀπιέναι ὅποι ἂν βούλωνται.

Schol. κἂν τῷ στόματι: Ὡς γυναῖκας εἰδωλοποιεῖ τὰς σπονδάς. στόμα γοῦν αὐταῖς προστίθησιν. (ἢ ἐν τῷ ἡμετέρῳ στόματι, γευσαμένων ἡμῶν, μονονουχὶ φωνὴν ἀφιᾶσιν. Ἄλλως. λέγουσι, φησὶν, αἱ σπονδαὶ, Ἄπιθι ὅπου θέλεις. εἰκότως· ἐν γὰρ πολέμῳ διὰ τὰς ἐπιδρομὰς τῶν πολεμίων καὶ τῆς πολιορκίας οὐκ ἔστιν ἀπελθεῖν ὅπου τις βούλεται.)

199. *κἀκπίομαι*] Futurum, ut *κατέδομαι* 1112. Moeris, *Πίομαι Ἀττικῶς· πιοῦμαι Ἑλληνικῶς.* Cf. Phryn. Lob. p. 30. Ut de vino loquitur.

200. *χαίρειν κελεύων πολλά*] Cf. 1131. Eq. 433. *κλάειν σε μακρὰ κελεύσας.* Nub. 609. Pl. 322. 1187. Soph. El. 1456. *ἦ πολλὰ χαίρειν μ' εἶπας οὐκ εἰωθότως.* Eur. Hipp. 112. *τὴν σὴν δὲ κύπριν πόλλ' ἐγὼ χαίρειν λέγω.* Sapph. Fr. 13. *πόλλα μοι τὰν Πολυανακτίδαο παῖδα χαίρην.*

Schol. (*χαίρειν κελεύων: Κατ' εὐφημισμὸν τὸ χαίρειν κελεύων τὸν Ἀμφίθεον οἴονταί τινες, ἵνα γραφῇ τὸ κελεύω χωρὶς τοῦ ν. τὸ δὲ ἑξῆς, ἐγὼ δὲ πολέμου τὸν Δικαιόπολιν.*)

201 sq. Dicaeopolis demum relinquit domumque suum introit, ex qua praeparatis quibus opus est egreditur cum uxore et filia duobusque servis *θαλλοφόροις* v. 237, Dionysia *τὰ κατ' ἀγροὺς* celebraturus.

201. *ἐγὼ δὲ* —] Oppositum hoc praecedenti *τοὺς Ἀχαρνέας.* Cf. 251. Fr. 269. 344. *ἀπαλλαγέντα τῶν κατ' ἀγορὰν πραγμάτων.* Herod. V. 4. *ὅσων κακῶν ἐξαπαλλαχθεὶς* etc. Aeschin. 29, 41. *ἀπαλλαγῆναι τοῦ πολέμου.* Isocr. 163 B. *ἀπαλλαγέντες πολέμων καὶ κινδύνων.*

202. *ἄξω*] Celebrabo. Cf. 250. Pac. 418. Th. 835. Herod. I. 147.

τὰ κατ' ἀγροὺς — Διονύσια] Agebatur hoc festum, diversum ab Lenaeis, per omnes Atticae pagos hiberno mense *Ποσειδεῶνι.* Cf. Aeschin. c. Tim. p. 22, 25. *ἐν τοῖς κατ' ἀγροὺς Διονυσίοις κωμῳδῶν ὄντων ἐν Κολυττῷ.* Isae. VIII. 21. *εἰς Διονύσια εἰς ἀγρὸν ἦγεν ἀεὶ ἡμᾶς.* Theophr. Char. III. *ὁ δὲ ἀδολέσχης τοιοῦτός ἐστιν οἷος — λέγειν — ὡς — Ποσειδεῶνός ἐστι τὰ κατ' ἀγροὺς Διονύσια.* Hesychium, *Διονύσια· ἑορτὴ Ἀθήνησιν, ἡ Διονύσῳ ἤγετο· τὰ μὲν κατ' ἀγροὺς μηνὸς Ποσειδεῶνος, τὰ δὲ Λήναια μηνὸς Ληναιῶνος* (*Ἀνθεστηριῶνος* corr. Ruhnk.), *τὰ δὲ ἐν ἄστει Ἐλαφηβολιῶνος.* De quattuor Bacchi festis, *τοῖς κατ' ἀγρούς, τοῖς κατ' ἄστυ* seu *μεγάλοις, τοῖς Ληναίοις,* et *τοῖς Ἀνθεστηρίοις* egerunt post Boeckhium Thirlwall (Mus. Philol. II. p. 273—307.), et Buttmann. in excursu ad Dem. Orat. in Mid. Secundum alios tria tantum Dionysi festa erant. Eadem atque *τὰ Λήναια* fuisse Dionysia *τὰ ἐν Πειραιεῖ* ostendere videatur locus Demosthenis c. Mid. p. 517. Cui sententiae repugnat Ruhnken. de Fest. Dionys. p. 42.

κατ' ἀγρούς] Cratin. II. 232. *κατ' ἀγρούς.* Amph. III. 305. *κατ' ἀγρόν.*

εἰσιών] Sc. *εἰς ἐμαυτοῦ.* Domum intrans. Cf. 970. Pac. 288. *ἔξω δὲ δοίδυκ' εἰσιὼν ποιήσομαι.* 49. Lys. 636. etc.

Schol. *ἄξω κατ' ἀγρούς: Τὰ Λήναια λεγόμενα. ἔνθεν τὰ Λήναια καὶ ὁ ἐπιλήναιος ἀγὼν τελεῖται τῷ Διονύσῳ. Λήναιον γάρ ἐστιν ἐν ἀγροῖς ἱερὸν τοῦ Διονύσου διὰ τὸ πλεκτοὺς ἐνταῦθα γεγονέναι, ἢ διὰ τὸ πρῶτον ἐν τούτῳ τῷ τόπῳ λήναιον τεθῆναι. Μένανδρος "τραγῳδὸς ἦν ἀγὼν Διονύσια."*)

203. "Fortasse hic versus alludit ad fr. adesp. ap. Athen. XIV. p. 658. *ἐγὼ δὲ φεύξομαί γ' ἐλεύθερος γεγώς.*" (Müll.). Hic scenam relinquit Amphitheus alius personae (uxoris Dicaeopolidis) partes acturus.

204. Cf. Vesp. 422. *πᾶς ἐπιστρέφου.* Pac. 301. *δεῦρο πᾶς χώρει.* 458. *ὑπότεινε δὴ πᾶς.* 555. *ἀλλὰ πᾶς χώρει πρὸς ἔργον.* Rhes. 685. *παῖε πᾶς.* Ran. 372. *χωρεῖ νῦν πᾶς ἀνδρείως.*

Schol. τῇδε πᾶς ἕπου: (Ἐντεῦθεν ἡ πάροδος γίνεται τοῦ χοροῦ, ὃν συμπληροῦσιν οἱ Ἀχαρνεῖς. παράγονται δὲ συντόνως μετὰ σπουδῆς διώκοντες τὸν Ἀμφίθεον σπονδὰς ποιησάμενον πρὸς τοὺς Λακεδαιμονίους. γέγραπται δὲ τὸ μέτρον τροχαϊκὸν, πρόσφορον τῇ τῶν διωκόντων γερόντων σπουδῇ. ταῦτα δὲ ποιεῖν εἰώθασιν οἱ τῶν δραμάτων ποιηταὶ κωμικοὶ καὶ τραγικοὶ ἐπειδὰν δρομαίως εἰσάγωσι τοὺς χοροὺς, ἵνα ὁ λόγος συντρέχῃ τῷ δράματι.) τὸ δὲ τῇδε τοπικόν ἐστιν ἐπίρρημα καὶ κεῖται ἐν ἴσῳ τῷ ἐνταῦθα. (καὶ ἔχει παρὰ τοῦ ποιητοῦ [Il. O. 46.]

"τῇ ἴμεν ᾗ κεν δὴ σὺ κελαινεφὲς ἡγεμονεύεις."

σημαίνει δέ ποτε καὶ ῥῆμα προστακτικόν [Od. I. 347.] "Κύκλωψ, τῆ πίε οἶνον." ἐχρήσατο δὲ τῷ ληθυντικῷ ὁ Σώφρων εἰπὼν "τῆτέ τοι κορῶναί εἰσιν." Ἄλλως. κορωνίς. εἰσέρχεται γὰρ ὁ χορὸς διώκων τὸν Ἀμφίθεον, καὶ ἔστι μεταβολικὸν μέλος ἐκ δύο μονάδων μονοστροφικῶν, ὧν ἡ μὲν πρώτη ιδ' κώλων ἔχει τὰς περιόδους· ὧν δ' μὲν ἐν εἰσθέσει εἰσὶ τροχαϊκαὶ καὶ καταληκτικαὶ τετράμετροι. εἶτα ἐν ἐκθέσει κῶλα παιωνικὰ ἕνδεκα κρητικοῖς ἐπιμεμιγμένα, καὶ τὸ ϛ' καὶ τὸ ὄγδοον καὶ δέκατον δίρρυθμα, τὰ δ' ἄλλα τρίρρυθμα.)

καὶ τὸν ἄνδρα πυνθάνου: Ἀντὶ τοῦ περὶ τοῦ ἀνδρός. ὅμοιον γάρ ἐστι τῷ "ἄνδρα μοι ἔννεπε Μοῦσα."

205. τῇ πόλει γὰρ ἄξιον] Cf. 8. ἄξιον γὰρ Ἑλλάδι. Eq. 616. νῦν ἄρ' ἄξιόν γε πᾶσίν ἐστιν ἐπολολύξαι.

206. *Schol.* ξυλλαβεῖν τὸν ἄνδρα: Διττή ἐστιν ἡ χρῆσις τοῦ συλλαβεῖν παρὰ τοῖς ἀρχαίοις. πρὸς γὰρ διάφορον κλίσιν διάφορος καὶ ἡ διάνοια. ἐὰν μὲν γὰρ πρὸς αἰτιατικὴν ἡ σύνταξις ᾖ, ἔχθραν καὶ δυσμένειαν παρίστησι τοῦ συλλαμβάνοντος, κακουργίαν δὲ τοῦ συλλαμβανομένου, ὥσπερ καὶ νῦν. καὶ Δημοσθένης ἐν τῷ κατὰ Μειδίου [?] "οὐχὶ συλληψόμεθα·" ἐὰν δὲ πρὸς δοτικὴν, σημαίνει φιλίαν καὶ συμμαχίαν, ὡς Ἰσοκράτης ἐν ταῖς παραινέσεσιν [p. 2 C.] "ὁρῶ δὲ καὶ τὴν τύχην ἡμῖν συλλαμβάνουσαν," ἴσον τῷ συναγωνιζομένην. ἐπάγει γοῦν "καὶ τὸν παρόντα καιρὸν συναγωνιζόμενον." καὶ Δημοσθένης ἐν πρώτῳ Φιλιππικῶν.)

207. ὅποι τέτραπται] Cf. Eur. Cycl. 308. ποῖ τρέψεταί τις;

Schol. εἴ τις οἶδ' ὅποι τέτραπται: Ἀστεία καὶ καθαρὰ εἰς ὑπερβολὴν ἡ σύνταξις τὸ λέγειν οὐκ εἰς ποίαν γῆν πέφευγεν, ἀλλὰ ποῦ γῆς. δόξαν γὰρ πεπαιδευμένου καρπώσαιτο ἄν τις οὕτως εἰπών.

210. *Schol.* τῶν ἐτῶν τῶν ἐμῶν: Οὐκ ἀπόβλητον οὐδὲ τοῦτό μοι δοκεῖ. σφόδρα γὰρ Ἀττικὴ ἡ φράσις. λείπει γὰρ τὸ ἕνεκα. τὸ κατ' ἔλλειψιν οὖν ῥηθὲν κοινὸν αὐτῷ πεποίηκε. λέγοις ἂν καὶ σὺ παραπλησίως· οἴμοι τῆς τύχης, μακάριος τῆς ἐμῆς παιδείας.

211. 226. Paeones tres, et totidem cretici: quo metri genere usum Aristophanem docet Marius Victor. p. 2543. "Hexametrum autem Aristophanes composuit tale ut sint paeones primi tres, et insequantur totidem cretici, tanquam, 'Ver agere purpurea te Venus amoribus diva pollens jubet.' "Ita solent senes. Sic senum Chorus apud Eurip. in Herc. Fur. 312. εἰ μὲν σθενόντων τῶν ἐμῶν βραχιόνων | ἦν τίς μ' ὑβρίζων, ῥαδίως ἐπαύσατ' ἄν· | νῦν δ' οὐδέν ἐσμέν. Virg. Aen. v. 397. 'Si mihi

quae quondam fuerat — nunc foret illa juventas, | Haud equidem — venissem'." BE. · Soph. Phil. 947. *οὐ γὰρ ἂν σθένοντά γε | εἷλέν μ'.*

ἐπ' ἐμῆς — νεότητος] Cf. Eq. 524. *ἐφ' ἥβης*. Vesp. 1199. *ἐπὶ νεότητος*.

Schol. *οὐκ ἂν ἐπ' ἐμῆς νεότητος: Ὁ μὲν χορὸς συνέστηκεν ἐξ κδ' ἀνδρῶν. ἔστι δὲ νῦν γεροντικός. πάνυ δὲ ἐμμελῶς καὶ μετὰ πάσης ἀρετῆς ὁ ποιητὴς ἐμιμήσατο γερόντων τρόπους καὶ λόγους· τρόπους μὲν ἐκ τῆς ἀκροχολίας, λόγους δὲ ἐκ τῆς τῶν παλαιῶν ἔργων ὑπολήψεως. τοιοῦτος ἡμῖν καὶ ὁ Νέστωρ δοκεῖ λέγων* [Il. H. 133.] *"ἡβῷμ' ὡς ὅτ' ἐπ' ὠκυρόῳ." καὶ πάλιν* [157.] *"εἴθ' ὡς ἡβώοιμι· τῷ κε τάχ' ἀντήσειε μάχης κορυθαίολος Ἕκτωρ." ὁ μὲν οὖν Ὅμηρος ἡρωϊκὸς ὢν ἡρωϊκῶν πράξεων μέμνηται, Ἀριστοφάνης δὲ ὡς μετρίοις ἀνδράσι καὶ βαναύσοις περιέθηκεν ἄνθρακας καὶ φορτία βασταζόμενα.*

213. *ἀνθράκων*] Quos e vicino monte Parnethe (cf. 348.) comportabant, ut faciunt hodie regionis ejus incolae. Distabat ab Athenis 60 stadios septentrionem versus demus Acharnae, hodie (ut videtur) Menidki. V. Leake on the Demi of Attica p. 21.

ἀνθράκων φορτίον] De Acharnensibus passim in hac comoedia tanquam de carbonariis loquitur, nempe quia illi praecipue facerent et venderent carbones. Nimis autem jactanter dicit senex juvenem se cum onere secutum esse currendo Phayllum cursorem praestantissimum; nempe ut Milo cum bove in humeris cucurrit stadium.

214. *ἠκολούθουν*] Assequebar, Anglice, I used to keep up with. Ut in illo versu, Nascetur qui te possit, Homere, sequi.

Φαΰλλῳ] Phayllus Crotoniata, cursor pernicitate celeberrimus, de quo v. schol. Herod. VIII. 47. *τῆς ἦρχε ἀνὴρ τρὶς πυθιονίκης Φάϋλλος.* Paus. X. 9. 2. Memoratur etiam Vesp. 1206. *ὅτε τὸν δρομέα Φάϋλλον ὢν βούπαις ἔτι εἷλον διώκων.* DIND. Ter fuit Pythionices teste Herod. l. l. Extat de eo epigramma apud schol.: *πέντ' ἐπὶ πεντήκοντα πόδας πήδησε Φάϋλλος, | δίσκευσεν δ' ἑκατὸν πέντ' ἀπολειπομένων.*

Schol. *Φαΰλλῳ: Ὁ Φάϋλλος δρομεὺς ἄριστος (ὀλυμπιονίκης, ὁπλιτοδρόμος περιώνυμος, ὃν ἐκάλουν ὁδόμετρον. ἦν δὲ καὶ πένταθλος.) ἐφ' οὗ καὶ ἐπίγραμμα τοιόνδε,*

"πέντ' ἐπὶ πεντήκοντα πόδας πήδησε Φάϋλλος,
δίσκευσεν δ' ἑκατὸν πέντ' ἀπολειπομένων."

(ἐγένετο δὲ καὶ ἕτερος ἀθλητὴς ὀγδόην ὀλυμπιάδα νικήσας, καὶ τρίτος λωποδύτης.)

215. *φαύλως*] Facile. I. q. *ῥᾳδίως*. Cf. Eccl. 666. *οὐχ ὑβριεῖται φαύλως οὕτως.* Vesp. 461. *ἀλλὰ μὰ Δί' οὐ ῥᾳδίως οὕτως αὐτοὺς ἂν διέφυγες.* Eq. 509. Nub. 778. Vesp. 634. 656. Av. 961. Lys. 566.

Schol. *ὧδε φαύλως ἄν: Ἀντὶ τοῦ εὐχερῶς καὶ μετὰ ῥᾳστώνης. (δηλοῦται δὲ ἐκ τῆς λέξεως καὶ τὸ ἁπλοῦν καὶ τὸ κακόν. τὸ δὲ ἑξῆς, οὐκ ἂν ὧδε φαύλως.)*

217. *ἐλαφρῶς*] Anglice nimbly. Aesch. Prom. 279. *ἐλαφρῷ ποδὶ — προλιποῦσ'* etc. Tyrtaeus Eleg. Fr. 19. *τοὺς δὲ παλαιοτέρους, ὧν οὐκέτι γούνατ' ἐλαφρὰ* etc. Pind. N. V. 20. *γονάτων ἐλαφρὸν ὁρμάν.*

ἀπεπλίξατο] Anglice stepped off. Schol: *ἀπεσείσατο* (?), *ἀπέφυγεν. πλὶξ γὰρ τὸ βῆμα, καὶ πλίγματα τὰ πηδήματα.* Qui *ἀμφιπλὶξ* ex Sophocle laudat pro *περιβάδην* dictum, et Homeri illud Od. ζ. 318. *εὖ δὲ πλίσσοντο πόδεσσιν*, ubi de mularum incessu agitur. Cf. Stratt. com. II. 788. *τὰ θυγάτρια | περὶ τὴν λεκάνην ἅπαντα περιπεπλιγμένα* (i. e. *διασχόντα τὰ σκέλη*, ut explicat Pollux II. 173). Similiter Hesychius, *περιπεπλίχθαι· διηλλαχέναι τὰ σκέλη ἀσχημόνως.* Id. *πλίγμα· βῆμα.* Etym. M. *ἀμφιπλίξ: περιβάδην.* Archiloch. Fr. 60. *οὐ φιλέω μέγαν στρατηγὸν οὐδὲ διαπεπλιγμένον | οὐδὲ βοστρύχοισι γαῦρον οὐδ' ὑπεξυρημένον.* Theocr. XVIII. 8. *ποσσὶ περιπλίκτοις.* Arist. Fr. 2. *καταπλαγήσει* (*καταπλιγήσει* Dind. in Steph. Thes. v. *καταπλίσσω*). Foes. ad Hippocratem in *Πληχαί.* Cobet. V. L. p. 135.

Schol. (*ἀπεπλίξατο: Ἀπεσείσατο* (?), *ἀπέφυγεν. πλίξ γὰρ τὸ βῆμα, καὶ πλίγματα τὰ πηδήματα. ἔνθεν καὶ τὸ περιβάδην ἀμφιπλίξ παρὰ Σοφοκλεῖ ἐν Τριπτολέμῳ. καὶ Ὅμηρος* [Od. Z. 318.]

"*αἵδ' εὖ μὲν τρώχων, αἵδ' ἐπλίσσοντο πόδεσσιν.*"

ἔλεγον δὲ πλίξ καὶ τὸ ἀπὸ τοῦ ἀντίχειρος εἰς τὸν λιχανὸν δάκτυλον διάστημα, καὶ τὸ μεταξὺ τῶν μηρῶν ὀστοῦν.)

219. *στερρόν*] Rigidum senecta. Cf. Plat. Phaed. § 108. *τὰ μὲν ὀστᾶ ἐστι στερρά.*

ἀντικνήμιον] Cf. Eq. 907. Pl. 784. Ran. 126.

Schol. νῦν δ', ἐπειδὴ στερρόν: (*Σκληρόν.*) *ἀντὶ τοῦ γεγηρακὸς καὶ αὖον.* (*ὥσπερ κατὰ ἀντίθεσιν ἐπὶ τῶν ἀκμαζόντων χλωρόν. Θεόκριτος* [XIV. 70. corrupte] "*ποιηταὶ δὲ λόγων χλωρῶν*" *ἀντὶ τοῦ ἀκμαίων, νέων. ἀπὸ μεταφορᾶς τῶν καλάμων, οἳ ὄντες μὲν χλωροὶ ἁπαλοί εἰσι, ξηραινόμενοι δὲ ξηροὶ καὶ σκληροὶ γίνονται. εὐφήμως οὖν εἶπε στερρὸν ἀντὶ τοῦ ξηρόν.*)

220. *τῷ παλαιῷ Λακρατείδῃ*] Hesychius, *Λακρατίδης· Ἀριστοφάνης φησὶ παλαιὸν Λακρατίδην, τὰ ψυχρὰ βουλόμενος δηλοῦν· ψυχροὶ γὰρ οἱ γέροντες.* Antiquum aliquem archontem fuisse eum Darii tempore narrat scholiasta ex Philochoro. *Λακρατίδης* quidam hierophanta memoratur ab Isaeo p. 64, 18. Alius, *Λακρατίδας* scriptus, apud Plutarch. Pericl. c. 35. et Lysand. c. 30. Sed, quum non intelligatur [v. Elmsl. Ed. Rev. XXXVII. 72.] quomodo hoc nomen producta syllaba penultima poni potuerit, recte Bentleius *Λακρατείδῃ* correxisse videtur: quod non patronymicum est ab *Λακράτης* derivatum, sed patronymici simile, de quo genere dixit Etym. M. p. 166, 3. DIND. Juxta quam interpretationem *τῷ παλαιῷ Λακρατίδῃ* valebit tantum frigore seu rigore. Quod ineptum omnino ac improbabile est. Partem veri vidit Berglerus, qui: "Se dicit Chorus Lacratidem, i. e. grandaevum. Ita v. 180. Amphitheus Acharnenses istos dicebat *μαραθωνομάχας*, quod idem est, nam praelium Marathonium contigit sub Dario." Scilicet hic Lacratides unus est e choreutis, ut Strymodorus ille in Vesp. 233, ubi item nugatur schol. Cf. omnino Vesp. 230—234. et 401.

τῷ παλαιῷ Λακρατείδῃ] Soph. Phil. 425. *τί δ' αὖ παλαιὸς — Νέστωρ —;* Ach. 676. *οἱ γέροντες οἱ παλαιοὶ* etc.

τὸ σκέλος βαρύνεται] Cf. Plat. Phaed. 117 E. *ἐπειδή οἱ βαρύνεσθαι ἔφη τὰ σκέλη.* Soph. Oed. R. 17. *οἱ δὲ σὺν γήρᾳ βαρεῖς.* Aj. 1017. *ἐν γήρᾳ βαρύς.* Theocr. XXIV. 100. *Τειρεσίας πολλοῖσι βαρύς περ ἐὼν ἐνιαυτοῖς.* Hor. Sat. I. 1. 4. 'Gravis annis.' Lucian. Tim. 26. *ὠχρὸς καὶ βαρὺς ἐκ τοῖν σκελοῖν.*

Schol. *Λακρατίδῃ*: *Λακρατίδης ἀρχαῖος ἄρχων Ἀθήνησιν, ὡς καὶ Φιλόχορος. ἦρξε δὲ ἐπὶ τῶν χρόνων Δαρείου, ἐφ' οὗ πλείστη χιὼν ἐγένετο καὶ ἀπέπηξε πάντα, ὡς μὴ δύνασθαί τινα προϊέναι. διόπερ τὰ ψυχρὰ πάντα Λακρατίδου ἐκάλουν. (δηλοῦνται δὲ καὶ νῦν τῷ ψυχρῷ καὶ γεροντικῷ. λέγει οὖν ὅτι διὰ τὸ γῆρας οὐχ οἷός τέ εἰμι θᾶττον βαδίζειν.)*

221. *διωκτέος*] Cf. Herod. IX. 58. *διωκτέοι εἰσὶ ἐς ὃ* etc.

μὴ γὰρ ἐγχάνοι —] Cf. Eq. 1313. *οὐ γὰρ ἡμῶν γε στρατηγῶν ἐγχανεῖται τῇ πόλει.* Vesp. 1007. *κοὐκ ἐγχανεῖται σ' ἐξαπατῶν* (*σοὐξ.*?) *Ὑπέρβολος.* 1349. *ἀλλ' ἐξαπατήσεις κἀγχανεῖ τούτῳ μέγα.* De constructione *ἐγχάνοι — ἐκφυγὼν* cf. Vesp. 1007.

222. *μηδέ περ γέροντας ὄντας*] Cf. Aesch. Suppl. 399. *οὐκ ἄνευ δήμου τάδε | πράξαιμ' ἂν οὐδέ περ κρατῶν.* Sept. 1029. *κατασκαφὰς ἐγὼ | γυνή περ οὖσα τῷδε μηχανήσομαι.*

γέροντας ὄντας] Multus est noster in hac *παρηχήσει.* Cf. Eq. 533. *ἀλλὰ γέρων ὢν περιέρρει.* Vesp. 278. *τὸ σφυρὸν γέροντος ὄντος.* 1192. *ἤδη γέρων ὢν καὶ πολιός.* 1384. *ἤδη γέρων ὤν.* 383. *ἅπαντες καλέσαντες.* Pac. 698. *γέρων ὤν.* Av. 1256. *οὕτω γέρων ὤν.* Eccl. 323. *ὅτι γέρων ὢν* etc. Adde Xenarch. Athen. 569 C. *τοὺς μὲν γέροντας ὄντας ἐπικαλούμεναι.* Aesch. Ag. 1619. *γνώσει γέρων ὢν* etc. Lys. XX. 38. *ἐλεήσατε — τὸν πατέρα γέροντα ὄντα.* Menand. IV. 220. *γέρων ἐρῶν.* Herod. I. 168. *πάντες βάντες.* Thuc. VIII. 16. *Σαμίαν μίαν.* Hom. Il. β'. 758. *Πρόθοος θεός.*

223. *ὦ Ζεῦ — καὶ θεοί*] Cf. ad Pl. 1.

227. *πόλεμος — αὔξεται*] Corrigendum suspicor *αἴρεται.* Cf. Ran. 1099. *μέγα τὸ πρᾶγμα, πολὺ τὸ νεῖκος, ἁδρὸς ὁ πόλεμος ἔρχεται* (*αἴρεται*?).

ἐχθοδοπός] Hostilis, infensus, sensu activo, ut in Soph. Aj. 950. *τοῖα — ἀνεστέναξες ὠμόφρων ἐχθοδόπ' Ἀτρείδαις.* Phil. 1132. Plat. com. ap. Poll. VI. 25. Passivo tamen sensu Plat. Legg. VII., ubi inter se opponuntur *ὁδοῦ ἐχθοδοποῦ* et *προσφιλοῦς.* Similem vocem *χαροπὸς* componit Buttmann. Lex. § 57. qui utramque ab *ὄπτω* derivat, coll. Apoll. Rh. IV. 1670. *ἐχθοδοποῖσιν | ὄμμασι* etc.

τῶν ἐμῶν χωρίων] Ob mea praedia. Subaudias *ἕνεκα* vel simile quid. Genitivum *τῶν ἐμῶν χωρίων* ab *πόλεμος* pendere statuit Muller. Equidem ad *αὔξεται* (*αἴρ.*) potius retulerim. Cf. Vesp. 1424. *ὅ τι χρή μ' ἀποτίσαντ' ἀργύριον τοῦ πράγματος.* Sunt autem *χωρία* praedia. V. Eq. 1077. Nub. 1123. Vesp. 850. Pac. 562. 1146.

Schol. (*τῶν ἐμῶν χωρίων*: *Κἀνταῦθα λείπει τὸ ἕνεκα.*)

229. *κοὐκ ἀνήσω*] Sc. *διώκων σε*, quod supplendum ex praec. *διωκτέος δὲ* v. 221. Cf. 347. Pac. 318. *εἰ μὴ τῆς βοῆς ἀνήσετε.*

σχοῖνος — ὀξύς] J u n c u s a c u t u s. I. q. *ὀξύσχοινος* (Dioscor.). Cf. Hom. Batr. 256. *καὶ ἀκόντισεν ὀξέϊ σχοίνῳ.* 247. *πᾶς δέ οἱ εἴσω | ὀξύσχοινος ἔδυνε.* Il. *δ'*. 185. *οὐκ ἐν καιρίῳ ὀξὺ πάγη βέλος.* Lucian. V. Hist. I. 30. *ὀξεῖς δὲ πάντας ὥσπερ σκόλοπας.* Subaudiendum autem *ὡς.* Cf. Lys. 695. *ἀετὸν τίκτοντα κάνθαρός σε μαιεύσομαι.*

Schol. πρὶν ἂν σχοῖνος: Εἶδος φυτοῦ κατὰ τὸ ἄκρον ὀξέος καὶ πληκτικοῦ, προσεοικότος βελόνῃ. παρατηρεῖν δὲ δεῖ ὅτι ἀρσενικῶς λέγουσι τὸν σχοῖνον. ὁ δὲ λόγος, πρὶν αὐτοὺς τρώσω ὡς σχοῖνος ὀξὺς καὶ ὀδυνηρός.

230. *αὐτοῖσιν ἀντεμπαγῶ*] Cf. 1226. *λόγχη τις ἐμπέπηγέ μοι δι' ὀστέων ὀδυρτά.* Vesp. 437. *εἰ δὲ μὴ τοῦτον μεθήσεις, ἔν τι σοι παγήσεται.* Pind. P. II. 168. *ἐνέπαξεν ἕλκος ὀδυναρὸν ἑᾷ πρόσθε καρδίᾳ.* Incertus apud Suidam in *σκῶλος: τοῦ μὲν ἐγὼ ζώοντος ἀναιδέσιν ἐμπήξαιμι | σκώλους ὀφθαλμοῖσι.*

231. *ἀνιαρός*] Cf. Pl. 561. *ἰσχνοὶ καὶ σφηκώδεις καὶ τοῖς ἐχθροῖς ἀνιαροί.* Theogn. 872. *τοῖς δ' ἐχθροῖς ἀνίη καὶ μέγα πῆμ' ἔσομαι.* Theocr. XXII. 134. *ξείνοισιν — ἀνιηρὸς ἔσεσθαι.*

ἐπίκωπος] I. q. *ἐπήρετμος, κωπήρης* (Eur. Tro. 161). Bekk. Anecd. p. 254, 14. *Ἐπίκωποι: οἱ πρὸς ταῖς κώπαις, οἱ ἐρέσσειν εἰωθότες.* Hesych.: *ἐπίκωπα· ἐπήρετμα.* Id: *ἐπήρετμοι· ἐπίκωποι. Ἐπίκωπος* r e m e x valet apud Josephum. Cf. Ran. 199. *κάθιζ' ἐπὶ κώπην.* 199. *ἵζω 'πὶ κώπην.* Moschion. ap. Athen. 208 F. *πᾶς δ' ἦν οὗτος (κέρκουρος) — ἐπίκωπος* (r e m i g i b u s i n s t r u c t u s). Cf. Dion. Hal. III. 44. Aristiam trag. apud Athen. XV. 686 A. *σύνδειπνος ἢ 'πίκωπος ἢ μαζαγρέτας.* Nescio an hunc locum illustret glossa Photii p. 198, 11. *Κωπαῖσι: σφῆκες. οὕτως Ἀριστ.* (Fr. 635.). *Πρόσκωπος* legitur Thuc. I. 10. 5. *τοξότας γὰρ πάντας πεποίηκε τοὺς προσκώπους.* Redde r e m o a s s i d e n s, r e m i g a n s (navigans, classe infestans). Anglice, a t t h e o a r. Valebant enim Athenienses re navali. Sic recte explicat schol: *ἀντὶ τοῦ διὰ νεὼς καὶ ναυτικὸς ὢν ἐπίω αὐτοῖς· ναυτικοὶ δὲ οἱ Ἀθηναῖοι καὶ προσέχοντες τῷ ναυτικῷ.* Qui alteram interpretationem minus probabilem addit *ξιφήρης*, i. e. g l a d i o i n s t r u c t u s. Alii denique explicant ad manubrium usque penetrans (Angl. u p t o t h e h i l t, deeply fixed) tanquam gladius: *κώπη* enim manubrium est gladii. Mihi quidem noster non nisi primum sensum respexisse videtur.

Schol. ἐπίκωπος: Ἀντὶ τοῦ διὰ νεὼς καὶ ναυτικὸς ὢν ἐπίω αὐτοῖς· ναυτικοὶ δὲ οἱ Ἀθηναῖοι (καὶ προσέχοντες τῷ ναυτικῷ. ἡ δὲ ὁμώνυμος λέξις ἐστὶ καὶ παρ' Ὁμήρῳ [Od. *Δ*. 559] "*οὐ γάρ μοι νέες εἰσὶν ἐπήρετμοι.*" *ἐπίκωπος οὖν ἤτοι ὅπερ ἔφην ναυτικὸς ἢ ξιφήρης· κώπη γὰρ τοῦ ξίφους ἡ λαβὴ, ἡ κόπτειν δυναμένη, ἤγουν κωπήεις.*)

232. *ἵνα μή ποτε πατῶσιν ἔτι*] Cf. Pac. 221. *οὐκ οἶδ' εἴ ποτ' Εἰρήνην ἔτι — ὄψεσθ'.* 1084. *οὔποτε δειπνήσεις ἔτι τοῦ λοιποῦ 'ν πρυτανείῳ.* 1087. *ἆρα φενακίζων ποτ' Ἀθηναίους ἔτι παύσει;* Av. 627. *οὐκ ἔστιν ὅπως ἂν ἐγώ ποθ' ἑκὼν τῆς σῆς γνώμης ἔτ' ἀφείμην.* Pl. 1000. *ἐφ' ᾧτ' ἐκεῖσε μηδέποτέ μ' ἐλθεῖν ἔτι.* Soph. Oed. R. 1412. *ἔξω μέ ποι — ἐκρίψατ' ἔνθα μήποτ' εἰσόψεσθ' ἔτι.* Aj. 98. *ὥστ' οὔποτ' Αἴανθ' οἵδ' ἀτιμάσουσ'*

ἔτι. Tr. 921. *ὡς ἔμ' οὔποτε | δέξεσθ' ἔτ'* Oed. R. 892. Oed. C. 848. Xen. An. I. 6. 8. (*οὐ*) *σοί γ' ἂν ποτε ἔτι δόξαιμι.* Theocr. XXII. 134. *ὄμοσσε — μήποτ' ἔτι ξείνοισιν ἑκὼν ἀνιηρὸς ἔσεσθαι.*

Schol. ἵνα μήποτε πατῶσιν: Εἰώθασι γὰρ σκόλοπάς τινας ἐγκρύπτειν ἐν ταῖς ἀμπέλοις, ἵνα μηδεὶς ἐξ ἐπιδρομῆς καὶ εὐχερῶς κακουργῇ. ἐπειδὴ οὖν προεῖπε, σκόλοψ καὶ σχοῖνος αὐτοῖς ἄτ' ἐμπαγῶ, εἰκότως ἐπήνεγκε τοῦτο, ἵνα μηκέτι πατῶσι τὰς ἐμὰς ἀμπέλους.)

233. *ἀμπέλους*] Cf. 183. *τῶν ἀμπέλων τετμημένων.* Aliquoties Lacedaemonii irruptione facta in Atticam vastarunt agros et vineas.

234. *Βαλλήναδε*] Ludit in nomine pagi Attici tribus Antiochidis *Παλλήνη*, qui inter Athenas et Marathonem situs erat, ut patet ex Herodoto I. 62. *ἀπικνέονται ἐπὶ Παλληνίδος Ἀθηναίης ἱρόν.* Eur. Her. 849. *Παλληνίδος — σεμνὸν — πάγον.* Dem. p. 1223. *Λυκῖνον τὸν Παλληνέα.* Hyperid. c. 44. *Ἐπικράτους — τοῦ Παλληνέως.* Harp. et Phot. v. *Παλληνεύς.* Wordsworth. Athens etc. p. 236. ed. sec. Vici nomen non *Παλλήνη* sed *Πάλληνον* fuisse ex adverbio *Παλλήναδε* suspicatur Elmsl. ad Eur. Her. l. l. Sic *Κλωπιδῶν* pro *Κρωπιδῶν* Eq. 79. *Ἀχραδούσιος* pro *Ἀχερδούσιος* Eccl. 362. *Κομπασεὺς* pro *Κονθυλεὺς* Av. 1126. *Ἱπποβίνου* pro *Ἱππονίκου* Ran. 429. *Κολακώνυμος* pro *Κλεώνυμος* Vesp. 592. *βυρσίνην* pro *μυρσινήν* Eq. 59. *Πελαργικὸν* pro *Πελασγικὸν* Av. 832. *Σουνιέρακε* pro *Σουνιάρατε* Av. 869. *Κρεκοπίδα* pro *Κεκροπίδα* Av. 1407. (v. not.) *βομβαύλιοι* pro *βομβύλιοι* Ach. 866. *κόνδυλον* pro *κάνδυλον* Pac. 123. *πεφυσιγγωμένοι* pro *πεφυσιωμένοι* Ach. 526. *ἁρματωλίας* pro *ἁμαρτωλίας* (?) Pac. 415. *φρυγίλῳ* pro *Φρυγίῳ* Av. 875. *Σελαρτίου* (s. *Σελλ.*) pro *Σέλλου* Vesp. 459. Hujusmodi *παραγραμματισμοὶ* frequentes sunt apud comicos. Sensus autem est *βάλλειν βλέπειν* (cf. 376) 'to look as if we should pelt him with stones'. Similiter fere *ὀστρακίνδα βλέπειν* Eq. 855.

Schol. Παλλήναδε: Οἱ Παλληνεῖς δῆμός ἐστι τῆς Ἀττικῆς, ἔνθα Πεισιστράτῳ βουλομένῳ τυραννεῖν καὶ Ἀθηναίοις ἀμυνομένοις αὐτὸν συνέστη πόλεμος. (συγκέκοπται δὲ ἡ λέξις· τὸ γὰρ ὁλόκληρόν ἐστι Παλληναίαδε. ὑπήλλακται δὲ ἡ κυριότης τῆς διανοίας.) δέον γὰρ εἰπεῖν ζητεῖν τὸν ἄνδρα καὶ βλέπειν Παλληνικὸν, τουτέστι γενναῖον, εἶπε Παλλήναδε. ὃ δὲ εἰπεῖν βούλεται τοῦτό ἐστιν· ὠμῶς διακεῖσθαι· καὶ τραχέως ἔχειν πρὸς τὸν σπεισάμενον Λακεδαιμονίοις, ὡς πάλαι πρὸς Πεισίστρατον τὸν τύραννον, ἡνίκα συνεστήσαμεν ἐν Παλλήνῃ τὴν μάχην. (μέμνηται δὲ τούτου καὶ Ἀνδροτίων καὶ Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ. Ἄλλως. Παλλήνη δῆμος τῆς Ἀττικῆς. νῦν δὲ διὰ τοῦ β γραπτέον κατὰ συγγένειαν τοῦ β εἰς τὸ π. εἴρηται δὲ ἀπὸ τοῦ βάλλειν λίθοις. θέλει γὰρ εἰπεῖν ὅτι δεῖ ζητεῖν τὸν ἄνδρα καὶ λιθολευστεῖν αὐτόν.)

235. *γῆν πρὸ γῆς*] Cf. Aesch. Prom. 685. *μάστιγι θείᾳ γῆν πρὸ γῆς ἐλαύνομαι.* Lucian. Alex. 46. *ἔδει γῆν πρὸ γῆς ἐλαύνεσθαι ὡς ἀσεβῆ.* Cic. ad Attic. XIV. 10. 'Itaque *γῆν πρὸ γῆς* cogito.' Alciphr. II. 2. *γῆν πρὸ γῆς φεύξομαι.* Ran. 657. *πληγὴν παρὰ πληγήν.* Dem. p. 1360. *συνεῖναι δ' ἑκατέρῳ ἡμέραν παρ' ἡμέραν.* Soph. Ant. 340. *ἔτος εἰς ἔτος* (year

after year). Theocr. XI. 69. ἆμαρ ἐπ' ἆμαρ. XV. 122. πωτῶνται, πτερύγων πειρώμενοι ὄζον ἀπ' ὄζω. XV. 20. ἔργον ἐπ' ἔργῳ. (Eur.) Rhes. 445. ἡμέραν ἐξ ἡμέρας. Menioch. Stob. Flor. 43, 27. ἡμέραν ἐξ ἡμέρας. S. Petr. II. Epist. 2, 8. ἡμέραν ἐξ ἡμέρας. Incert. apud Suid. in ἴτω: Ἀλλ' ἴτω, χαιρέτω, γῆν πρὸ γῆς ὅποι βούλοιτο (βούλεται?). Aristid. II. p. 320. Blomf. Gl. Prom. 703.

236. *βάλλων — ἐμπλήμην*] Cf. Vesp. 603. ἔμπλησο λέγων. et ad Vesp. 1127. Eubul. com. III. 224. ὥστ' οὐδὲ δειπνῶν, ὡς λέγουσ', ἐμπίμπλαται. Eur. Hipp. 660. μισῶν δ' οὔποτ' ἐμπλησθήσομαι | γυναῖκας. Ion. 934. οὗτοι σὸν βλέπων | ἐμπίμπλαμαι πρόσωπον. Fr. 688, 1. ἐμπλήσθητί μου | πίνων κελαινὸν αἷμα. Dem. p. 1265. ἐπειδὴ — ἐνεπλήσθησαν ταῦτα ποιοῦντες. Plat. Prot. 346 C. ἐμπλησθείη ἂν ἐκείνους μεμφόμενος. Xen. Cyr. I. 4. 14. πρὶν Κῦρος ἐμπλησθείη βάλλων. Soph. Oed. C. 768. ἀλλ' ἡνίκ' ἤδη μεστὸς ἦν θυμούμενος. Dem. p. 1175. ἐπειδὴ μεστὸς ἐγένετο ἀγανακτῶν. Herod. VII. 146. ἐπεὰν δὲ ταῦτα θηεύμενοι ἔωσι πλήρεες.

ἐμπλήμην] Cf. Lys. 235. ἐμπλῆθ'. Vesp. 1304. ἐνέπλητο. Hesiod. Scut. 146. ἐπλῆτο. Infra 424. ἐμπλήμενος.

Schol. ἐμπλείμην λίθοις: Κορεσθείην. εὐκτικῆς ἐγκλίσεως τετύχηκε τὸ ἐμπλείμην. (ἔστι γὰρ ἐμπιπλῶ, ὃ κατὰ ἀναδιπλασιασμὸν κέκλιται, ἀφ' οὗ παράγωγον τὸ ἐμπίπλημι. ἀπὸ τούτου γίνεται τὸ [Il. Φ. 23] "πιμπλᾶσι μυχοὺς λιμένος εὐόρμου." τὸ δὲ ἑτέρᾳ παραγωγῇ, ἀφ' οὗ τὸ πλήθω, ὡς ἀπὸ τοῦ νῶ νήθω. ἀπὸ δὴ τοῦ) πλῶ πλείμην, ὡς ἀπὸ τοῦ βλῶ βλείμην, (οὗ τὸ δεύτερον [Il. N. 288] "εἴπερ γάρ κε βλεῖο".

237. *εὐφημεῖτε*] Hoc Dicaeopolis dicit sacrificans: nam Dionysia celebrat. BE. Εὐφημεῖν significat aut bona verba dare aut (ne qua forte mala effugiant) silentium religiosum servare. Cf. 241. Pac. 434. Eq. 1316. εὐφημεῖν χρὴ καὶ στόμα κλείειν. Th. 39. εὔφημος πᾶς ἔστω λαὸς | στόμα συγκλείσας. Nub. 263. Eur. Iph. A. 1564. εὐφημίαν ἀνεῖπε καὶ σιγὴν στρατῷ. Soph. Tr. 178. Hor. Od. III. 1. 2. 'Favete linguis'.

Schol. εὐφημεῖτε: Τοῦτο ὁ Δικαιόπολις μέλλων ποιεῖν θυσίαν φησί. τοῦτο γὰρ ἦν ἔθος.

238. *ἠκούσατ' — ἆρα* etc.] Raro post verbum postponitur interrogativum ἆρα. Cf. Pl. 579. τὸν Δία φήσεις ἆρ' οὐκ ὀρθῶς διαγιγνώσκειν τὸ δίκαιον; Eccl. 672. οὐδὲ κυβεύσουσ' ἆρ' ἄνθρωποι; Eur. Or. 1512. ἐνδίκως ἡ Τυνδάρειος ἆρα παῖς διώλετο; Her. 640. ὦ φίλταθ', ἥκεις ἆρα νῷν σωτὴρ βλάβης; El. 1229. φονέας ἔτικτες ἆρά σοι; Soph. Oed. C. 409. ἔσται πότ' ἆρα τοῦτο Καδμείοις βάρος; "ἆρα interrogativum verbo suo subjectum in tragicorum scriptis non reperi". (Elmsl. ad Her. 640).

σῖγα πᾶς] Sub ἴσθι aut ἔχε. Cf. Th. 1006. σῖγα, κακόδαιμον γέρον. Eur. Hec. 532. σιγᾶτ', Ἀχαιοί, σῖγα πᾶς ἔστω λεώς· | σίγα, σιώπα. Suppl. 669. σιγᾶτε, λαοί· σῖγα, Καδμείων στίχες, | ἀκούσαθ'.

Schol. (σίγα πᾶς: Ἐπ' αὐτῷ τούτῳ δυσχεραίνουσι καὶ διάκεινται χαλεπῶς ὅτι οὐ μόνον εἰρήνην ἐποίησεν, ἀλλὰ καὶ θυσίας ἐπιτελεῖ.)

239. *οὗτος αὐτός*] Ut ἐκεῖνος αὐτὸς Pl. 83. etc.

Schol. (*οὗτος αὐτός ἐστιν ὃν ζητοῦμεν*: *Τὸ δὶς τὸν αὐτὸν λόγον ἐπιφθέγξασθαι παρίστησιν ἐκ μετατροπῆς ἀλήθειαν βεβαιούμενος.*)

ἀλλὰ δεῦρο πᾶς: *Πρὸς ὀλίγον χρόνον ὑποστείλασθαι βούλονται, ἵνα μὴ προϊδόμενος ὁ σπονδοφόρος φύγῃ*, (*ἀλλὰ δυνηθῶσιν αὐτὸν χειρώσασθαι. τοιαῦται ἦσαν καὶ αἱ Ὀδυσσέως πρὸς Διομήδη παρακελεύσεις* [Il. *K.* 344]

"*ἀλλ' ἐῶμέν μιν πρῶτα παρεξελθεῖν πεδίοιο*
τυτθόν· ἔπειτα δέ κ' αὐτὸν ἐπαΐξαντες ἕλοιμεν.)"

240. *θύσων — ἐξέρχεται*] Cf. Thesm. 36. *ἀλλ' ἐκποδὼν πτήξωμεν, ὡς ἐξέρχεται — προθυσόμενος, ἔοικε, τῆς ποιήσεως.* Lys. 1107.

241. Sequitur festi *τῶν κατ' ἀγροὺς Διονυσίων* specimen. Celebrabatur autem illud festum per omnes Atticae pagos mense Posideone (Dec. — Jan.), ut docet Theophrastus Char. 3. Idem forsan festum fuit *Ἀσκώλια* et *Θεοίνια*. Satis autem grande spectaculum id fuisse constat ex Isaei loco p. 70, 23. *καὶ οὐ μόνον εἰς τὰ τοιαῦτα παρεκαλούμεθα, ἀλλὰ καὶ εἰς Διονύσια εἰς ἀγρὸν ἦγεν ἀεὶ ἡμᾶς, καὶ μετ' ἐκείνου τε ἐθεωροῦμεν καθήμενοι παρ' αὐτὸν* etc. Unde *θεῶ μ' ἀπὸ τοῦ τέγους* 262.

242. Cf. Eccl. 742. *ὁ τὴν σκάφην λαχὼν προΐτω.*

προΐτω 'ς τὸ πρόσθεν] Plat. Gorg. 497 A. *πρόϊθί γε ἔτι εἰς τοὔμπροσθεν.* Symp. 174 D. *προϊέναι εἰς τὸ πρόσθεν.* Pol. IV. 437 A. Xen. Cyn. III. 7. VIII. 4. Anab. II. 1. 12.

ἡ κανηφόρος] Virgines, et quidem, ut scholiastes ait, nobiliores, gestabant canistra in Dionysiis. Thuc. VI. 56. *ἀδελφὴν γὰρ αὐτοῦ κόρην ἐπαγγείλαντες ἥκειν κανοῦν οἴσουσαν ἐν πομπῇ τινι ἀπήλασαν λέγοντες οὐδὲ ἐπαγγεῖλαι τὴν ἀρχὴν διὰ τὸ μὴ ἀξίαν εἶναι.* BE.

Schol. *πρόϊθ' ὡς τὸ πρόσθεν*: *Κατὰ τὴν τῶν Διονυσίων ἑορτὴν παρὰ τοῖς Ἀθηναίοις αἱ εὐγενεῖς παρθένοι ἐκανηφόρουν. ἦν δὲ ἐκ χρυσοῦ πεποιημένα τὰ κανᾶ, ἐφ' ὧν τὰς ἀπαρχὰς ἁπάντων ἐτίθεσαν.* (*διπλῆ δὲ μετὰ κορωνίδος, ὅτι εἰσίασιν οἱ ὑποκριταί, καὶ εἰσὶν ἰαμβεῖα.*)

243. *ὁ Ξανθίας*] Cf. Ran. 271. Sic *ἡ Θρᾶττα* Ach. 273. Vesp. 828. *ἡ Σύρα* Pac. 1146. *ὁ Μανῆς* Lys. 1213. Ran. 965. Pac. 1146. *ὁ Καρίων* Pl. 1100. *ἡ Μανία* Amips. II. 701. *Ξανθίας* nomen servi a flavis capillis ductum, ut a rubris sive fulvis *Πυρρίας.*

τὸν φαλλὸν —] Schol: *φαλλὸς ξύλον ἐπίμηκες ἔχον ἐν τῷ ἄκρῳ σκύτινον αἰδοῖον ἐξηρτημένον.* ubi vide plura. "Penis est coriaceus aut pertica appensum habens eiusmodi penem. Adhibebantur autem phalli in Bacchi sacris et originem traxerunt ex Aegypto, ut alia pleraque religionis Graecanicae. Herod. II. 49. *τὴν δὲ ἄλλην ἀνάγουσι ὁρτὴν τῷ Διονύσῳ οἱ Αἰγύπτιοι πλὴν χορῶν κατὰ ταὐτὰ σχεδὸν πάντα τοῖς Ἕλλησι· ἀντὶ δὲ φαλλῶν ἄλλα σφί ἐστι ἐξευρημένα, ὅσον τε πηχυαῖα ἀγάλματα νευρόσπαστα, τὰ περιφορέουσι κατὰ τὰς κώμας ταὶ γυναῖκες, νεῦον* (imo *νεύοντα*) *τὸ αἰδοῖον οὐ πολλῷ τέῳ ἔλασσον ἐὸν τοῦ ἄλλου σώματος· προηγέεται δὲ αὐλός· αἱ δὲ ἕπονται ἀείδουσαι τὸν Διόνυσον. διότι δὲ μέζον τε ἔχει τὸ αἰδοῖον καὶ κινέει μοῦνον τοῦ σώματος ἔστι λόγος περὶ αὐτοῦ ἱρὸς λεγόμενος. ἤδη ὦν δοκέει μοι Μελάμπους ὁ Ἀμυθέωνος τῆς*

θυσίης ταύτης οὐκ εἶναι ἀδαὴς ἀλλ' ἔμπειρος· Ἕλλησι γὰρ δὴ Μελάμπους ἐστὶ ὁ ἐξηγησάμενος τοῦ Διονύσου τό τε οὔνομα καὶ τὴν θυσίην καὶ τὴν πομπὴν τοῦ φαλλοῦ. Talia fere erant simulacra Priapi." BE. Lucian. de S. D. 28. φαλλοὺς ὅσοι Διονύσῳ ἐγείρουσι. In carmine ithyphallico apud Athen. 622 B. ἐθέλει γὰρ ὁ θεὸς (Phallus) ὀρθὸς ἐσφυρωμένος | διὰ μέσου βαδίζειν.

Schol. ὁ Ξανθίας τὸν φαλλόν: Φαλλός ξύλον ἐπίμηκες ἔχον ἐν τῷ ἄκρῳ σκύτινον αἰδοῖον ἐξηρτημένον. ἵστατο δὲ ὁ φαλλὸς τῷ Διονύσῳ κατά τι μυστήριον. περὶ δὲ αὐτοῦ τοῦ φαλλοῦ τοιαῦτα λέγεται. Πήγασος ἐκ τῶν Ἐλευθερῶν, αἱ δὲ Ἐλευθεραὶ πόλις εἰσὶ Βοιωτίας, λαβὼν τοῦ Διονύσου τὸ ἄγαλμα ἧκεν εἰς τὴν Ἀττικήν. οἱ δὲ Ἀθηναῖοι οὐκ ἐδέξαντο μετὰ τιμῆς τὸν θεόν, ἀλλ' οὐκ ἀμισθί γε αὐτοῖς ταῦτα βουλευσαμένοις ἀπέβη. μηνίσαντος γὰρ τοῦ θεοῦ νόσος κατέσκηψεν εἰς τὰ αἰδοῖα τῶν ἀνδρῶν, καὶ τὸ δεινὸν ἀνήκεστον ἦν. ὡς δὲ ἀπεῖπον πρὸς τὴν νόσον κρείττω γενομένην πάσης ἀνθρωπείας μαγγανείας καὶ τέχνης, ἀπεστάλησαν θεωροὶ μετὰ σπουδῆς· οἳ δὴ ἐπανελθόντες ἔφασαν ἴασιν ταύτην εἶναι μόνην, εἰ διὰ τιμῆς ἁπάσης ἄγοιεν τὸν θεόν. πεισθέντες οὖν τοῖς ἠγγελμένοις οἱ Ἀθηναῖοι φαλλοὺς ἰδίᾳ τε καὶ δημοσίᾳ κατεσκεύασαν, καὶ τούτοις ἐγέραιρον τὸν θεὸν ὑπόμνημα ποιούμενοι τοῦ πάθους. ἴσως δὲ καὶ ὅτι παίδων γενέσεως αἴτιος ὁ θεός. ἡδονὴν γὰρ καὶ ἀφροδίσια μέθη ἐξανίστησι. τοιγαροῦν καὶ ὁ Λάϊος ἐκδοὺς ἑαυτὸν μέθῃ [Eurip. Phoen. 21] "εἴς τε βακχεῖον πεσὼν" ἐφύτευσε (παῖδα. φαλλός δὲ τὸ πέος. παίζει δὲ πρὸς τὸν οἰκέτην· Ξανθίας γὰρ οἰκετικὸν ὄνομα. κέχρηται δὲ αὐτῷ καὶ ἐν Βατράχοις [271] "ὁ Ξανθίας, ποῦ Ξανθίας;" εἰσὶ δὲ καὶ ἐν τῇ κωμῳδίᾳ οἰκέται Ξανθίας, Τίβιος, Σωσίας, Λᾶος, Γέτας.)

244. τὸ κανοῦν] Canistrum, in quo portabantur instrumenta ad sacrum peragendum necessaria. Cf. Pac. 948. 956. Av. 42. Hom. Od. γ'. 442. δ'. 761.

ἀπαρξώμεθα] Cf. Pac. 1056. ἄγε νυν ἀπάρχου κᾆτα δὸς τἀπάργματα. Hom. Il. τ'. 254. Od. γ'. 446. ξ'. 421.

245. ἀνάδος] Cf. ad 732. Eq. 149. ἀνάβαινε. Vesp. 1341. 1514. Eccl. 1152.

τὴν ἐτνήρυσιν] Schol: ἐν ᾗ τὸ ἔτνος ἀρύονται. Cf. Fr. 612. Bekk. Anecd. p. 39, 15. Ariston. in Anthol. VI. 17. καὶ τὰν ἐτνοδόνον τορύναν. Similia sunt οἰνήρυσις infra 1067. ζωμήρυσις Antiph. III. 146. Philem. jun. IV. 68. ἐπίχυσις (χαλκίου) Fr. 12. Cf. ad Lys. 1060.

Schol. (τὴν ἐτνήρυσιν: Τὴν ζωμάρυστρον, ἐν ᾗ τὸ ἔτνος ἀρύονται. καθάριον δὲ εἰς ὑπερβολὴν τὸ ὄνομα. ἔστι δὲ καὶ τοῦτο ἀστεῖον καὶ πεπαιδευμένῳ ἁρμόζον, μηδὲ τῶν κατὰ τὴν οἰκίαν σκευῶν τῆς καθημερινῆς χρείας ἀγνοεῖν τὰ ὀνόματα. ἐτνήρυσιν οὖν ἐκάλεσε παρὰ τὸ ἐν αὐτῇ ἀρύεσθαι τὸ ἔτνος. λέγομεν δὲ ἐτνήρυσιν πᾶν τὸ ταράσσον. ἔτνος δὲ ἔλεγον τὴν ἀθάραν καὶ τὸ πίσινον ἀφέψημα, ὡς καὶ ἐν Βατράχοις [62] "ἤδη πότ' ἐπεθύμησας ἔτνους".)

246. ἔτνος] Inest ambiguitas nonnulla. Cf. Eccl. 845. χύτρας ἔτνους ἕψουσιν αἱ νεώτεραι. Lys. 1060. Similis ambiguitas est in voce ζωμὸς Pac. 885.

τοὐλατῆρος] V. schol. Cf. Eq. 1181. Fr. 249. *ἔτνος, πῦρ (πυριάτης?), γογγυλίδες, ῥάφανοι, δρυπετεῖς, ἐλατῆρες.*

Schol. *τοῦ 'λατῆρος: Ἐλατήρ ἐστι πλακουντῶδες πέμμα πλατύ. (ἔνθεν καὶ ἡ ἐπωνυμία, παρὰ τὸ ταῖς χερσὶν ἐλαύνεσθαι εἰς πλάτος. ἐλατῆρος οὖν τοῦ πέμματος. ἔστι δὲ ἄρτος πλατὺς, ἐν ᾧ τὸ ἔτνος ἐτίθεσαν καὶ προσῆγον τῷ βωμῷ. ἐλατὴρ δὲ πᾶν τὸ πλατύ. εἰσὶ δὲ καὶ λαγαρώδεις παρὰ τὸ λαγαρόν. καὶ πέλανοι παρ' Εὐριπίδῃ.)*

247. *καὶ μὴν καλόν γ' ἔστ'*] I. q. *πάντα καλῶς ἔχει*, ni fallor. Redde, Atqui bene sic est, i. e. bene omnia praeparata sunt.

ὦ Διόνυσε —] Cf. 435. *ὦ Ζεῦ διόπτα — ἐνσκευάσασθαί μ'* etc. 816. *Ἑρμᾶ 'μπολαῖε, τὰν γυναῖκα τὰν ἐμὰν | οὕτω μ' ἀποδόσθαι* etc. Vesp. 869. *ὦ Φοῖβ' Ἄπολλον — τὸ πρᾶγμ' ὃ μηχανᾶται — ἅπασιν ἡμῖν ἁρμόσαι* etc. Ran. 886. *Δήμητερ, ἡ θρέψασα τὴν ἐμὴν φρένα, | εἶναί με τῶν σῶν ἄξιον μυστηρίων.* 892. *αἰθὴρ — ὀρθῶς μ' ἐλέγχειν ὧν ἂν ἅπτωμαι λόγων.* 387. *Δήμητερ — σῶζε τὸν σαυτῆς χορόν· καί μ' ἀσφαλῶς πανήμερον παῖσαι* etc. Th. 286. *δέσποινα πολυτίμητε — πολλὰ πολλάκις μέ σοι | θύειν ἔχουσαν.* 289—291. Lys. 317. *Δέσποινα Νίκη, ξυγγενοῦ τῶν τ' ἐν πόλει γυναικῶν — θέσθαι τροπαῖον ἡμᾶς.* Aesch. Sept. 233. *θεοὶ πολῖται, μή με δουλείας τυχεῖν.* Eur. Suppl. 3. *Δήμητερ — εὐδαιμονεῖν με Θησέα τε παῖδ' ἐμὸν* etc. Eur. El. 805. *νύμφαι πετραῖαι, πολλάκις με βουθυτεῖν.* Herod. V. 105. *ὦ Ζεῦ, ἐκγενέσθαι μοι Ἀθηναίους τίσασθαι.* Trag. Fr. Adesp. 127. *ὦ Ζεῦ, γενέσθαι τῆσδέ μ' ἐξάντη νόσου.* Hom. Od. ρ'. 354. *Ζεῦ ἄνα, Τηλέμαχόν μοι ἐν ἀνδράσιν ὄλβιον εἶναι, | καί οἱ πάντα γένοιτο.* Il. β'. 412. *Ζεῦ κύδιστε — μὴ πρὶν ἐπ' ἠέλιον δῦναι* etc.

248. *κεχαρισμένως σοι*] Grate tibi. Cf. ad Pac. 386. *χοῖρον κεχαρισμένον.* Formatum ut *ἐντεταμένως, κατεβλακευμένως*, etc.

πομπὴν — πέμψαντα] Cf. Av. 849. Eccl. 756. Dem. 47, 9. *τὰς πομπὰς πέμπουσιν.* 522, 4. *πομπεῦσαι τὴν τοῦ Διονύσου πομπήν.* Herod. II. 49. *ἡ πομπὴ τοῦ φαλλοῦ.* V. 56. Lys. 137, 22.

250. *τυχηρῶς*] Feliciter. Cf. Th. 305. Vox rarior. *Τυχηρὸς* felix legitur Ag. 464.

251. *στρατιᾶς*] *στρατιὰ* apud nostrum et exercitum et militiam significat. Priori significatione legitur supra 81. 149. Pac. 747. Lys. 1141. posteriori infra 1143. Eq. 587. Vesp. 354. 557. Thesm. 828. 1169. Lys. 100. 592.

ἀπαλλαχθέντα] Eadem forma est Vesp. 484. 504. Av. 940. Pl. 66. Theopomp. com. II. 794. Altera *ἀπαλλαγέντα* Ach. 201. 270. Pac. 352. 303. 293. Eccl. 1082. 1100. Pl. 263. 271. 316. Fr. 344. et sexies apud reliquos comicos.

τὰς σπονδάς δέ μοι καλῶς ξυνενεγκεῖν] Cf. Nub. 594. *αὖθις ἐς τἀρχαῖον ὑμῖν — ἐπὶ τὸ βέλτιον τὸ πρᾶγμα τῇ πόλει ξυνοίσεται.* Eccl. 475. *ἅπαντ' ἐπὶ τὸ βέλτιον ἡμῖν ξυμφέρειν.* Eur. Iph. A. 724. *συνενέγκοι δ' ὅμως.* Plutarch. Ag. et Cleom. p. 804 D. *μόνον, ἔφη, συνενέγκαι ταῦτα τῇ Σπάρτῃ.* Demosth. p. 130, 20. *ὅ τι δ' ὑμῖν δόξειε, τοῦτ', ὦ πάντες θεοὶ, συνενέγκοι.*

253. *ὅπως — οἴσεις*] Structura ab Atticis maxime usitata, saepe tamen ab librariis male habita. Cf. 955. Eq. 222. 760. 1011. Nub. 489. 1464. Vesp. 288. Pac. 76. 1017. 1330. Av. 131. 1333. Th. 267. 1204. Ran. 8. 377. Eccl. 149. 953. Pl. 326.

καλὴ καλῶς] Cf. Eccl. 730. *χώρει σὺ δεῦρ', ἡ κιναχύρα, καλὴ καλῶς.* Pac. 1330. *χὤπως μετ' ἐμοῦ καλὴ | καλῶς κατακείσει.* Pl. 65. *ἀπό σ' ὀλῶ κακὸν κακῶς.* Ephipp. III. 336. *σεμνὸς σεμνῶς χλανίδ' ἕλκων.* Antiph. III. 133. *ἃ δὴ | δίδωσιν ἡμῖν ὁ τόπος ἄθλι' ἀθλίοις.* Soph. El. 198. *δεινὰν δεινῶς προφυτεύσαντες | μορφάν.* Fr. 613. *θυτῆρα καινῷ καινὸν ἐν πεπλώματι.* Phil. 166. *στυγερὸν στυγερῶς.* Eur. Bacch. 1188. *ὁ Βάκχιος κυναγέτας σοφὸς σοφῶς | ἐνέπηλεν ἐπὶ θήρᾳ | τοῦδε μαινάδας.* 1195. *περισσὰν περισσῶς.* Herod. II. 173. *ἐν θρόνῳ σεμνῷ σεμνὸν θωκέοντα.* Plaut. Rud. II. 4. 12. 'Non licet te sicce placide bellam belle tangere?' Curc. IV. 2. 'Sequere istum bella belle.' Asin. III. 3. 1. 'I sane bella belle.' Plura dabit Elmsleius ad Med. 787.

254. *βλέπουσα θυμβροφάγον*] Hesychius, *Θυμβροφάγος· ἀντὶ τοῦ δριμυφάγος· ἡ γὰρ θύμβρα δριμύ ἐστι βρῶμα.* (Malim *Θυμβροφάγον· ἀντὶ τοῦ δριμύ.*) Noster Ran. 562. *ἔβλεψεν εἰς ἐμὲ [ἔς με] δριμύ.* Eodem fere modo dixit *νᾶπυ βλέπειν* Eq. 631. *κάρδαμα* Vesp. 455. *ὀπὸν* Pac. 1184. *ὀρίγανον* Ran. 603. *ὑπότριμμα* Eccl. 291. quae omnia acria sunt. ELM. Phot. p. 96, 25. *Θυμβροφάγον: δριμύ.* Cf. ad 95. et Nub. 421. *τρυσιβίου γαστρὸς καὶ θυμβρεπιδείπνου.* De herba *θύμβρα* (satureia hortensis, Angl. sage) laudant Dioscor. III. 45. Plin. XIX. 8. Eupol. II. 426. *θύμα, θύμβραν.* Virg. G. IV. 31. 'graviter spirantis copia thymbrae.'

Schol. θυμβροφάγον: Ἤτοι ἀγροικικὸν καὶ (καὶ οὐκ?) ἐλευθέριον· παρόσον οἱ ἐν ἀγρῷ διατρίβοντες ἀφελέστεροι καὶ ἐπιεικέστεροι. τὸ δὲ θύμβρον ἐν ἀγρῷ γίνεται· ἔστι δὲ καὶ τοῦτο ἄγριον φυτόν. ἢ πικρὸν καὶ δριμὺ κατὰ τῶν ἐχθρῶν. (δριμὺ γὰρ τὸ φυτόν. οἱ δὲ ἀντὶ τοῦ δριμὺ καὶ ἱλαρόν. τινὲς δὲ τῷ θύμῳ παραπλήσιον. ἢ ἁπαλὸν, ἡδύ. κωμικῶς δὲ ἔπαιξεν.)

255. *ὀπύσει*] Cf. Fr. 1. *φρασάτω τί καλοῦσιν ὀπυίειν.* Hesiod. Th. 819. *δῶκε δὲ Κυμοπόλειαν ὀπυίειν θυγατέρα ἥν.* Scut. 356. *τοῦ γὰρ ὀπυίεις παῖδα* —. Theocr. XXII. 161. *τάων εὐμαρὲς ὔμμιν ὀπυίειν ἅς κ' ἐθέλητε.*

κἀκποιήσεται] Procreabitque ex te mustelas (i. e. puellas) quae non minus quam tu visiant sub lucis exortum. Scilicet mustela *δριμύτατον* visire putabatur. Cf. Plut. 688. *ὑπὸ τοῦ δέους βδέουσα δριμύτερον γαλῆς.* Simonid. Stob. Flor. 73, 61. *εὐνῆς δ' ἀληνής (ἄπληστος?* i. e. insatiabilis) *ἐστιν ἀφροδισίης* (sc. *ἡ ἐκ γαλῆς γυνή*). Ceterum solenne est *ἐκποιεῖσθαι* de liberis procreandis. Cf. Pac. 708. *ταύτῃ (τῇ Ὀπώρᾳ) ξυνοικῶν ἐκποιοῦ σαυτῷ βότρυς.* Cf. ad v. prox. seq.

γαλᾶς] Cf. ad Vesp. 1185. Pl. 693.

Schol. γαλᾶς: Ἀντὶ τοῦ παῖδας δριμυτάτους. τοῦτο δὲ τὸ σχῆμα καλεῖται παρὰ προσδοκίαν· ἔδει γὰρ ἐκφάναι ἐκποιήσεται παῖδας νεανίας.

ὀπύσει: Γαμήσει. Vict.

256. *βδεῖν*] Sc. in coitu. Vide Mulleri notam.

ἐπειδὰν ὄρθρος ᾖ] *Ὄρθρου* mentio hic fit quia id tempus praecipue aphrodisiacum esse existimatur. Cf. Lys. 966. *καὶ μὴ βινῶν τοὺς ὄρθρους.* 1089. Eccl. 462.

Schol. ἐπειδὰν ὄρθρος ᾖ: Παρόσον ἐν τῷ ὄρθρῳ δοκοῦσιν οἱ ἄνθρωποι συνεχῶς βδέειν διὰ τὸ τὰς πέψεις τότε γίνεσθαι.

257. *τὤχλῳ*] Eadem crasis est in *τὠφθαλμῷ* Lys. 1026.

φυλάττεσθαι] Infinitivus pro imperativo, ut saepe alias. BE.

Schol. πρόβαινε: Ὡς ἐπὶ ὄχλου πομπευόντων αὐτῶν (λέγει. φυλάττεσθαι δὲ ἀντὶ τοῦ παρατηρεῖν, φυλάττειν.)

258. *μή τις —*] Cf. Th. 894. *οὗτος πανουργῶν δεῦρ' ἀνῆλθεν, ὦ ξένε, | ὡς τὰς γυναῖκας ἐπὶ κλοπῇ τοῦ χρυσίου.* Pac. 729. *ὡς εἰώθασι μάλιστα περὶ τὰς σκηνὰς πλεῖστοι κλέπται κυπτάζειν καὶ κακοποιεῖν.*

περιτράγῃ] Circumrodat, spoliet. Cf. Vesp. 596. 672. Machon. Athen. 579 D. *ὑπό τι γὰρ δέδοικά σε | μή μου προπεσούσης τοὔμπλόκιον ὑπεκτράγῃς.*

τὰ χρυσία] Aurea ornamenta gestabant virgines, ut notum est (Av. 670. *ὅσον δ' ἔχει τὸν χρυσὸν ὥσπερ παρθένος*), et praecipue *αἱ κανηφόροι*, qualis nunc fingitur esse Dicaeopolidis filia. Cf. ad Lys. 1190. Eccl. 447. Lycophronidem Athen. 564 B. *παρθένων τῶν χρυσοφόρων.* Pors. ad Hec. 153.

259. *ὦ Ξανθία, σφῷν δ' —*] Alterum duorum servorum alloquitur. Cf. Pl. 788. *ὦ φίλτατ' ἀνδρῶν, καὶ σὺ καὶ σὺ χαίρετον.* 66. Av. 850. *παῖ παῖ, τὸ κανοῦν αἴρεσθε καὶ τὴν χέρνιβα.* Lys. 209. *λάζυσθε πᾶσαι τῆς κύλικος, ὦ Λαμπιτοῖ.* Ran. 1479. *χωρεῖτε τοίνυν, ὦ Διόνυσ', εἴσω.* Soph. Oed. C. 1102. *ὦ τέκνον, ἦ πάρεστον;* 1104. *προσέλθετ', ὦ παῖ.* 1112. *ἐρείσατ', ὦ παῖ.* V. Lobeck. ad Aj. p. 248. Cf. etiam Aesch. Prom. 6. *Ἥφαιστε, σοὶ δὲ χρὴ μέλειν* etc. Soph. Aj. 1409. *παῖ, σὺ δὲ —.* Diminutivum est *Ξανθίας* a *ξανθὸς* formatum ut *Πυρρίας* (vel *Πύρριχος*) a *πυρρός.*

Schol. (ὀρθὸς ἑκτέος: Ὑμῖν δ' ἐστὶν ὁ φαλλὸς κατασχετέος, βαστακτέος ἑπομένοις τῇ κανηφόρῳ. ἅμα δὲ καὶ πρὸς τὸ κακέμφατόν ἐστιν ὁ φαλλός, τὸ πρὸς μίμησιν τοῦ αἰδοίου. καὶ τοῦτο δὲ παίζει κωμικῶς λέγων τὸν φαλλὸν ὀρθὸν κατέχειν ὄπισθεν τῆς παρθένου.)

261. *ᾄσομαι τὸ φαλλικόν*] Sc. *μέλος, ᾆσμα*, aut *αὔλημα*. Cf. ad 14. *ᾀσόμενος Βοιώτιον.* Phrynich. II. 587. *τερετιῶ τὸ (τι) πτιστικόν.* Plat. com. II. 638. *ᾖδεν πρὸς αὐτὸ μέλος Ἰωνικόν τι.* Theocr. XIV. 30. *ᾆδεν — Θεσσαλικόν τι μέλισμα.* Polyb. XXX. 4. 7. *κατὰ τὴν παροιμίαν τὸ κύκνειον ἐξηχήσαντες.* XXXI. 20. 1. *μάτην ἐξᾴσας τὸ κύκνειον.* Athen. 535 C. *ηὔλει τὸ τριηρικόν.* Aesch. Pers. 1053. *κἀπιβῶ τὸ Μύσιον.* Anacr. II. 8. *τὸ παροίνιον βοήσω.* Xen. Anab. IV. 3. 29. *ἐπειδὰν — ὁ σαλπιγκτὴς σημήνῃ τὸ πολεμικόν.* Vesp. 1524. *τὸ Φρυνίχειον* (sc. *σχῆμα*) *ἐκλακτισάτω τις.*

Schol. ᾄσομαι τὸ φαλλικόν: Ἄισματα λέγεται φαλλικὰ τὰ ἐπὶ τῷ φαλλῷ ᾀδόμενα μέλη. ἔστι δὲ εἰς Διόνυσον (ἢ εἰς ἄλλον καρπόν [?].)

262. *θεῶ μ' ἀπὸ τοῦ τέγους*] Nempe quia pompam non comitabatur mulier. Mos autem erat ex superioribus aedium partibus spectare, ne via qua pompam ducentes procedebant spectatorum multitudine oppleretur

impedireturque. BR. Uxor propter spectatorum turbam quam Dicaeopolis comice adiisse fingit in tectum jubetur ascendere. Hinc elucet domum Dicaeopolidis in scenae pariete non pictam sed ligno exstructam fuisse, quod saepius in Comici fabulis invenitur. V. Nub. 1488. 1502. Vesp. 139. Richter Proleg. Vesp. p. 40. Talis apparatus scenicus vocabatur *διστεγία*, de qua Pollux IV. 129. *ἡ δὲ διστεγία ποτὲ μὲν ἐν οἴκῳ βασιλείῳ διῆρες δωμάτιον, οἷον ἀφ' οὗ ἐν Φοινίσσαις Ἀντιγόνη βλέπει τὸν στρατὸν, ποτὲ δὲ κέραμος, ἀφ' οὗ καὶ βάλλουσι τῷ κεραμίῳ. ἐν δὲ κωμῳδίᾳ ἀπὸ τῆς διστεγίας πορνόβοσκοί τινες κατοπτεύουσιν ἢ γραΐδια (γράδια?) ἢ γύναια καταβλέπει.* MULLER. Cf. Ran. 131. *ἀφιεμένην τὴν λαμπάδ' ἐντεῦθεν θεῶ.* Hinc suspicari licet mulieres plerumque ex aedium tectis hujusmodi pompas spectare esse solitas. Cf. Lys. 395. *ἡ γυνὴ 'πὶ τοῦ τέγους* (*ἠπὶ τοῦ τέγους γυνή?*). Plut. Cic. 22. *αἱ δὲ γυναῖκες ἐκ τῶν τεγῶν προὔφαινον ἐπὶ τιμῇ καὶ θέᾳ τοῦ ἀνδρὸς ὑπὸ πομπῇ τῶν ἀρίστων μάλα σεμνῶς ἀνιόντος.*

πρόβα] Ad filiam dictum. Sic *κατάβα* Vesp. 979. Ran. 35.

263. Carmen ithyphallicum apud Athen. 622 C. *ἀνάγετε, εὐρυχωρίαν | τῷ θεῷ ποιεῖτε· | ἐθέλει γὰρ ὁ θεὸς ὀρθὸς ἐσφυρωμένος | διὰ μέσου βαδίζειν.* De phallicis carminibus dixit Bergkius. Comm. p. 270 seq.

Schol. (*Φαλῆς ἑταῖρε*: *Διπλῆ καὶ μέλος, οὗ ἡγεῖται περίοδος. ἡ περικοπὴ κώλων ιζ' τοῦ ὑποκριτοῦ, ἧς πρῶτα μέν εἰσιν η'. ἐν εἰσθέσει ἰαμβικὰ δίμετρα ἀκατάληκτα μὲν β', τὸ δὲ γ' καταληκτικόν. τὰ δὲ ἄλλα ε' καταληκτικά. περισπωμένως δὲ τὸ Φαλῆς ἀναγνωστέον ὡς Ἑρμῆς. οὕτως δὲ Ἀττικοί· παρὰ Δωριεῦσι δὲ βαρυτόνως. "ὁ δ' αὖ Φάλης κατακυπτάζει." οὕτω Σώφρων ἐχρήσατο. ὥσπερ δὲ Ὅμηρος ἥρμοσε κατάπληξιν τῇ φυγῇ καὶ ἑταίραν αὐτῆς ἔφησεν εἶναι* [Il. I. 2] "*θεσπεσίη ἔχε φύζα*" *εἰπὼν* "*φόβου κρυόεντος ἑταίρη,*" *οὕτω καὶ ὁ κωμικὸς ἐκεῖθεν λαβὼν τὰς ἀφορμὰς Διονύσῳ τὸν φαλλὸν ἑταῖρον εἶναι φησίν· ἀκόλουθα γὰρ Διονυσιακῷ ποτῷ τὰ ἀφροδίσια. μαρτυρεῖ δὲ ἡμῖν καὶ Εὐριπίδης* [Phoen. 21]
"*ὁ δ' ἡδονῇ δοὺς εἴς τε βακχεῖον πεσών.*"

264. *νυκτοπεριπλάνητε μοιχέ*] I. q. *νυκτίπλαγκτε.* (Aesch. Ag. 12. *νυκτίπλαγκτον — εὐνήν.* 330. *νυκτίπλαγκτος — πόνος.* Cho. 751.) *Πολυπλάνητος* intransitivum est Eur. Hel. 1319. et *πουλυπλάνητος* Herod. I. 56. Cf. Eupol. II. 481. *κεῖνος νυκτερίν' ηὗρε μοιχοῖς ἀείσματ' ἐκκαλεῖσθαι γυναῖκας.*

Schol. νυκτοπεριπλάνητε: *Οἰκείας ἐντίθησι φωνὰς ψυχῇ ἀνειμένῃ καὶ ἤδη μεθυούσῃ. ἡδίστην δὲ τὴν σύνθεσιν τὴν τοῦ νυκτοπεριπλάνητε ἡ περί πρόθεσις εἰργάσατο.*

265. *Schol. μοιχέ*: *Διὰ τὸ τοὺς μεθύοντας γίνεσθαι περὶ τὰ ἀφροδίσια. δεῖ δὲ νοεῖν ὅτι ταῦτα οὐχ ὡς ἐν βλασφημίᾳ λέγεται τὸ μοιχέ καὶ τὸ παιδεραστά, ἀλλὰ πρὸς διάχυσιν καὶ ἱλαρότητα τοῦ φαλλοῦ.* (*ὡς καὶ παρ' Ὁμήρῳ* [Il. E. 31] *πρὸς διάθεσιν ψυχῆς* "*Ἆρες Ἄρες βροτολοιγέ.*")

266. *ἕκτῳ — ἔτει*] Sextus enim erat belli annus. Cf. schol. et 890. *ἥκουσαν ἕκτῳ μόλις ἔτει ποθουμένην.* Aesch. Ag. 504. *δεκάτῳ σε φέγγει τῷδ' ἀφικόμην ἔτει.* Sic infra 521. *πολλῷ χρόνῳ.* Cf. praeterea Pac. 557. *ἄσμενός σ' ἰδὼν προσειπεῖν βούλομαι τὰς ἀμπέλους.* 990. *οἵ σου γλι-*

χόμεσθ' (*τρυχόμεθ'* vulg.) *ἤδη τρία καὶ δέκ' ἔτη.* Anno Ol. 87, 1., antequam Thebani Plataeas invasissent, mense Posideone Dionysia rustica in agris postremo egisse Athenienses docet Muller. Praef. p. VI.

ἐς τὸν δῆμον ἐλθών] Ergo in demo suo hoc festum celebrat Dicaeopolis. Cf. 202. Ceterum, quum Lenaeis doceatur haec fabula, non servari veras temporis rationes constat.

Schol. ἕκτῳ σ' ἔτει προσεῖπον: Ἕκτον γὰρ ἦν λοιπὸν ἔτος ἀφ' οὗ ὁ πόλεμος Ἀθηναίοις πρὸς Πελοποννησίους συνέστη. δῆμον δὲ ἔφη τὴν κώμην, οὐχ ὡς παρ' Ὁμήρῳ [Il. B. 547] "*δῆμον Ἐρεχθῆος.*"

269. Cf. 757. Pac. 293. *ἀπαλλαγεῖσι πραγμάτων τε καὶ μαχῶν.* 353. *ἀπαλλαγέντα πραγμάτων.* 347. 1297. Ran. 185. *ἀναπαύλας ἐκ κακῶν καὶ πραγμάτων.*

μαχῶν καὶ Λαμάχων] Cf. 1071. *ἰὼ πόνοι τε καὶ μάχαι καὶ Λάμαχοι.* Sic. Ran. 463. *καθ' Ἡρακλέα τὸ σχῆμα καὶ τὸ λῆμ' ἔχων.* Lamachus Xenophanis filius, dux Atheniensium, hic et passim in hac fabula notatur *ὡς φιλοπόλεμος.* Vir fortis et justus fuit, sed egenus (Plut. Nic. 15). In *μονομαχίᾳ* cum Callicrate cecidit (ibid. 18).

270. *Schol. καὶ Λαμάχων: Ὁ Λάμαχος οὗτος Ἀθηναίων στρατηγὸς, υἱὸς Ξενοφάνους, ὅν, ὅτε εἰς Σικελίαν ἔπλεον οἱ Ἀθηναῖοι, ἐχειροτόνησαν. ἦν δὲ μετὰ Ἀλκιβιάδου καὶ Νικίου, ὡς ἱστορεῖ Θουκυδίδης διὰ τῆς στ'* [c. 8]. *ἦν δὲ φιλοπόλεμος οὗτος.*

272. *ὡρικήν*] Juvenem et venustam. Pl. 963. *πυνθάνει γὰρ ὡρικῶς.* Fr. 40. *ὡρικὴ κόρη* (?) et *ὡρικὸν μειράκιον* (?).

Schol. ὡρικὴν ὑληφόρον: Ἀντὶ τοῦ ὡραίαν (καὶ ἀκμαίαν. ὥρα γὰρ ἡ ἀκμή. καὶ ὡραῖόν φασιν οἱ τραγικοὶ τὸ ἀκμαῖον. κοινὰ δὲ τὰ τοιαῦτα ὀνόματα. ὡρικὸν δὲ μειράκιον καὶ ὡρικῶς ἐν Δαιταλεῦσιν αὐτός. ἡ δὲ λέξις ἀπόδεκτος.)

273. *τὴν — Θρᾷτταν*] Thressam, i. e. ancillam. Nomen gentile, ut *ἡ Σύρα* Pac. 1146. Cf. Pac. 1138. *χἄμα τὴν Θρᾷτταν κυνῶν τῆς γυναικὸς λουμένης.* Vesp. 828. Thesm. 279. 280. 284. 293. Plat. Theaet. p. 174 A. *Θρᾷττά τις — χαρίεσσα θεραπαινίς.* Dem. p. 1356. *θεραπαίνας δύο, Θρᾷτταν καὶ Κοκκαλίνην.* Theocr. II. 70. *ἁ Θευμαρίδα Θρᾷσσα τροφός.* Corn. Nep. Iph. III. 4. Contractum ex *Θρῄϊσσα.* Similia sunt *Κίλισσα, Φοίνισσα, Καππαδόκισσα, Λίβυσσα,* etc.

ἐκ τοῦ φελλέως] Cf. Nub. 71. Cratin. II. 69. *ἐπέδωκε βαλάνων ἄβακα τῶν ἐκ φελλέως.* Plat. Criti. 111 C. *τὰ φελλέως νῦν ὀνομασθέντα πεδία.* Alciphr. III. 21. 2. *Χιόνην γὰρ τὴν καλλιστεύουσαν τῶν αἰγῶν ἐκ τοῦ φελλέως ἁρπάσας οἴχεται (ὁ λύκος).* Harpocr. p. 181, 9. *τὰ πετρώδη καὶ αἰγίβοτα χωρία φελλέας ἐκάλουν.* Ruhnk. ad Tim. p. 269. Confer nostrum 'fell' et Germanicum 'fels'. Contra Eq. 527. *διὰ τῶν ἀφελῶν πεδίων.* Cf. etiam v. *ἀλίπεδον* (al. *ἁλ.*) Fr. 30. Verba *ἐκ τοῦ φελλέως* ad *τὴν Στρυμοδώρου Θρᾷτταν* refert Muller, coll. Eupol. II. 514. *Φιλόξενος ἐκ Διομείων.* Anaxandr. III. 174. *τὴν ἐκ Κορίνθου Λαΐδ'.* Sic supra 192. *πρέσβεων ἐς τὰς πόλεις.* 412. *τί τὰ ῥάκι' ἐκ τραγῳδίας ἔχεις;* Pl. 422. *ἴσως ἐρινύς ἐστιν ἐκ τραγῳδίας.* 439. *τὸ πιλίδιον περὶ τὴν κεφαλὴν τὸ Μύσιον.*

Schol. τὴν Στρυμοδώρου Θρᾶτταν: Ἤτοι κοινῶς δούλην, ἢ οὕτως καλουμένην, τὴν ἐκ Θράκης· ὡς τὴν ἀπὸ Φρυγίας καὶ Παφλαγονίας. φελλεῖς δὲ ἔλεγον οἱ Ἀττικοὶ τοὺς πετρώδεις τόπους, (οἵτινες κάτωθεν μέν εἰσι πετρώδεις, ἐπιπολῆς δὲ ὀλίγην ἔχουσι γῆν.) οἱ δὲ ὅτι ὄρος Φελλεὺς οὕτω καλούμενον, ὡς καὶ ἐν Νεφέλαις [71.]

274. *μέσην λαβόντ' ἄραντα καταβαλόντα*] Cf. Aelian. Epist. 9. *ἐμέλλησα δ' ἂν τὴν — Θηβαΐδα — ἀράμενος μέσην, εἶτα ῥίψας εἰς τὸ κλινίδιον, ἔχεσθαι τῆς σπονδῆς.* Eccl. 260. *μέση γὰρ οὐδέποτε ληφθήσομαι. | ΓΥ. ἡμεῖς δέ γ', ἣν αἴρωσ', ἐὰν κελεύσομεν.* Notanda autem participiorum coacervatio et asyndeton, *εὑρόντα λαβόντα ἄραντα καταβαλόντα.*

Schol. (*μέσην λαβόντ' ἄραντα*: Ἐν εἰσθέσει κῶλα τρία ἰσάριθμα, ὧν τὰ δύο ἰαμβικὰ δίμετρα, τὸ δὲ ἓν μονόμετρον.)

275. *καταγιγαρτίσαι*] I. e. *συνουσιάσαι, διαμηρίσαι* (schol.). A *γίγαρτον*, quod per *τὸ γυναικεῖον αἰδοῖον* explicat schol. Cf. Pac. 634. *ὧν ἄνευ γιγάρτων καὶ φιλῶν τὰς ἰσχάδας* (*οὐργάτης λεώς*). Vox comice ficta, ut *κατατριακοντουτίζειν* Eq. 1391. *κατασικελίζειν* Vesp. 911. Phot. p. 135, 6. Scilicet *γίγαρτα* (v. Pac. 634.) sunt *τὰ ἐντὸς τῆς σταφυλῆς ὀστώδη*, acini uvarum. Simonid. Athen. I. 32 B. *οὐ γὰρ ἀπόβλητον Διονύσιον οὐδὲ γίγαρτον.* Geopon. VI. 12. *στέμφυλα — καὶ τὰ τῶν σταφυλῶν γίγαρτα.* Proverbium *Ἀποτίσεις, χοῖρε, γίγαρτα,* Diogen. III. 32. etc. Conjunguntur *γίγαρτα* et *ἰσχάδες* Pac. 634. *γίγαρτον* de virili parte intelligit Mein., de muliebri schol. Cf. ad Hor. Carm. II. 5. 10. 'immitis uvae.' Itaque *καταγιγαρτίσαι* proprie significat acinum excerpere, deacinare; deinde metaphorice et *κακεμφάτως* comprimere, devirginare. Apte autem hoc composito in festo Dionysiaco utitur rusticus. Cf. v. *ἐκγιγαρτίζειν* (*σταφίδα*), Dioscor. Theophan. Nonn. Epit. 248. *σταφὶς ἐκγιγαρτισμένη.* Cum *γιγαρτίζειν* cf. v. *κοκκίζειν.*

Schol. *καταγιγαρτίσαι*: Ἀντὶ τοῦ κατὰ τῶν γεωργικῶν γιγάρτων βαλεῖν καὶ διαμηρίσαι. γεωργικῶς δὲ παίζει. (ἢ ὅτι τὸ ῥῆμα πρόσκαιρον, ἵνα ἀπὸ τῶν γιγάρτων τὸ μόριον ᾖ πεπλασμένον.) οὐ γὰρ διὰ παντὸς συνουσιάσαι δηλοῖ τὸ καταγιγαρτίσαι. (γίγαρτα δὲ τὰ ἐντὸς τῆς σταφυλῆς ὀστώδη. ἢ ἀντὶ τοῦ συνουσιάσαι· γίγαρτον γὰρ τὸ αἰδοῖον. ἢ καταθλῖψαι, ἀπὸ μεταφορᾶς τῶν γιγάρτων.)

277. *ἐκ κραιπάλης*] Post crapulam. Cf. Vesp. 1255. et ad Ran. 304. Antiph. com. III. 386. *προνοούμενος τοῦ τὰς κεφαλὰς ὑγιεῖς ἔχειν | ἐκ κραιπάλης.* Men. IV. 334. *τὴν κραιπάλην ἀπερυγγάνω.* Lucian. pro lapsu etc. 1. *χθεσινῆς κραιπάλης ἀνάμεστον.*

Schol. (*ἐκ κραιπάλης*: Ἡ ἐξ ἑωθινοῦ μέθη κραιπάλη καλεῖται. ἢ ἀπὸ χθιζῆς οἰνοποσίας.)

278. *ἕωθεν εἰρήνης ῥοφήσει τρύβλιον*] Alexis III. 448. *ἐὰν ἐπιχωρίως | ἰατρὸς εἴπῃ "τρύβλιον τούτῳ δότε | πτισάνης ἕωθεν," καταφρονοῦμεν εὐθέως.* Eq. 905. *ἐγὼ γάρ φημί σοι παρέξειν — μισθοῦ τρύβλιον ῥοφῆσαι.* *ῥοφήσει*] Cf. Vesp. 814. *ῥοφήσομαι.* Pac. 716. *ῥοφήσει.*

279. *φεψάλῳ*] *φέψαλος* inferius v. 670. Vesp. 227. pro scintilla usurpatur, qui sensus huic loco parum convenit. Scholiastes *ἐν τῷ καπήλῳ*

interpretatur, quod in *καμίνῳ* mutandum videtur. Neque aliter noster Av. 434. *ἄγε δὴ σὺ καὶ σὺ τὴν πανοπλίαν μὲν πάλιν | ταύτην λαβόντε κρεμάσατον τύχῃ ἀγαθῇ | εἰς τὸν ἰπνὸν εἴσω πλησίον τοὐπιστάτου.* Scilicet ne aeruginem capiat. ELM. Cf. 58. *κρεμάσαι τὰς ἀσπίδας.* Simile est illud Fr. 295 Bl. *τὴν δ' ἀσπίδα | ἐπίθημα τῷ φρέατι παράθες εὐθέως* (*ὑπτίαν*?). In schol. alii *καπνείῳ* legunt. Ipse malim *καπνῷ.* Cf. Hesiod. Op. 45. *αἶψά κε πηδάλιον μὲν ὑπὲρ καπνοῦ καταθεῖο.* 627. *πηδάλιον δ' εὐεργὲς ὑπὲρ καπνοῦ κρεμάσασθαι.* Hom. Od. *π'.* 288. *ἐκ καπνοῦ κατέθηκ', ἐπεὶ οὐκέτι τοῖσιν ἐῴκει.*

Schol. ἐν τῷ φεψάλῳ: Ἐν τῷ καπνείῳ. φέψαλοι γάρ εἰσιν οἱ σπινθῆρες, ὡς καὶ ἀλλαχοῦ [Lysistr. 107.] *δηλοῖ*

"*ἀλλ' οὐδὲ μοιχοῦ καταλέλειπται φεψάλυξ.*"

(*καὶ παρὰ Ἀρχιλόχῳ δὲ κεῖται "πυρὸς δὲ ἦν αὐτῷ φεψάλυξ." διὰ δὲ τὸ μὴ δεῖσθαι ἀσπίδος εἰρήνης γενομένης ἔφη ἐν φεψάλῳ κρεμήσεται ἡ ἀσπίς, παρὰ τὸ*) *Ἡσιόδειον* [Op. 45.]

"*αἶψά κε πηδάλιον μὲν ὑπὲρ καπνοῦ καταθεῖο.*"

(*καὶ τί δεῖ περὶ ἀσπίδος καὶ πηδαλίου λέγειν, ὅπου γε καὶ περὶ ἀχρήστων βουλευμάτων ταύτην ἐξήνεγκε τὴν γνώμην ὁ ποιητὴς εἰπὼν* [Il. B. 340.]

"*ἐν πυρὶ δὲ βουλαί τε γενοίατο μήδεά τ' ἀνδρῶν.*"

περὶ δὲ ὅπλων ἐπιμελείας ἀξιουμένων τοὐναντίον ἔθηκεν [Od. Π. 288.]

"*ἐκ καπνοῦ κατέθηκ', ἐπεὶ οὐκέτι τοῖσιν ἐῴκει*").

281. *βάλλε βάλλε βάλλε βάλλε*] Sic chorus Trojanorum, Ulixem persequens, in Eur. Rhes. 675. *ἔα ἔα· βάλλε βάλλε βάλλε βάλλε, θεῖνε θεῖνε· τίς ὅδ' ἀνήρ;* 685. 680. Xen. Anab. V. 7. 21. *ἀκούομεν θορύβου πολλοῦ, Παῖε παῖε, βάλλε βάλλε.* V. 7. 16. *βάλλοντες καὶ παίοντες.* Lucian. Pisc. 1. *βάλλε βάλλε τὸν κατάρατον ἀφθόνοις τοῖς λίθοις.* "Dum autem peregit sacra Dicaeopolis continuit se Chorus; nunc eum aggreditur puniturus quod pacem fecit: deinde causam dicit Dicaeopolis." BE. Videntur haec tragici alicujus loci parodia esse.

282. *παῖε πᾶς τὸν μιαρόν*] Cf. Eq. 247. *παῖε παῖε τὸν πανοῦργον καὶ ταραξιππόστρατον.* Vesp. 456. *παῖε παῖ', ὦ Ξανθία, τοὺς σφῆκας* etc. Pac. 1119. *ὦ παῖε παῖε τὸν Βάκιν.* Nub. 1508. Av. 365. Eur. Rhes. 675. *παῖε παῖε πᾶς τις.* 685. 680. Ran. 1125. *ἄγε δὴ σιώπα πᾶς ἀνήρ.*

284. *τὴν χύτραν*] Adhibetur a sacrificantibus olla etiam in Av. 43. *κανοῦν δ' ἔχοντε καὶ χύτραν καὶ μυρρίνας | πλανώμεθα ζητοῦντε τόπον ἀπράγμονα.* ELM. Herculem invocat *ὡς ἀλεξίκακον.*

Schol. Ἡράκλεις: Βαλλόμενος λίθοις ὁ Δικαιόπολις ὑπὸ τοῦ χοροῦ φησιν Ἡράκλεις. ὡς ἀλεξίκακον τὸν Ἡρακλέα καλεῖ. πάνυ δὲ κινεῖ γέλωτα τῆς μὲν κεφαλῆς αὐτοῦ ἀφροντιστῶν, τῆς δὲ χύτρας προνοούμενος, ἐν ᾗ τὸ ἔτνος ἦν. (*τῷ δὲ συντρίβειν καὶ Μένανδρος κέχρηται ἐν Λευκαδίᾳ καὶ ἐν Ἀσπίδι· "ἔχων τὴν ἀσπίδα ἔκειτο συντετριμμένην." σχετλιαστικὴ δὲ καὶ ἡ τοῦ Ἡράκλεις φωνή· οὗτος γὰρ ὁ θεὸς εἰς ἐπικουρίαν ἐκαλεῖτο ὡς ἀλεξίκακος τοῖς δεινὰ πάσχουσιν.*

Ἡράκλεις: Διπλῆ, εἶτα ἕπεται δυὰς μονοστροφικὴ ἀμοιβαία τὰς περιόδους ἔχουσα δεκακώλους ἐκ στίχων δύο τροχαϊκῶν τετραμέτρων καταληκτικῶν, καὶ κώλων η', ὧν τοὺς μὲν στίχους ὁ ὑποκριτὴς λέγει, τὰ δὲ κῶλα ὁ χορός. πρῶτος τοίνυν ἐστὶν ἐν ἐκθέσει κατὰ τὸ ἴσον τοῖς χορικοῖς, ἃ ποιεῖ δοχμὸν συζυγίαν καὶ παίωνας τρεῖς καὶ διαίρεσιν. τῷ δὲ δικώλῳ τούτῳ τὸ μὲν πρῶτόν ἐστιν

"ἀπολεῖς ἄρα τὸν ἥλικα τόνδε φιλανθρακέα."

τὸ δὲ τῆς δευτέρας "οὔτοι σοι χαμαί." ἕπεται δὲ τοῖς δυσὶ κώλοις στίχος τροχαῖος ὅδε "ἀντὶ ποίας αἰτίας." καὶ ἐν εἰσθέσει τὰ λοιπὰ κῶλα ς' παιωνικὰ δίρρυθμα.)

285. σὲ μὲν οὖν καταλεύσομεν, ὦ μιαρὰ κεφαλή] Idem metrum Av. 456. παραλειπομένην ὑπ' ἐμῆς φρενὸς ἀξυνέτου. 544.

ὦ μιαρὰ κεφαλή] Sic Hom. Il. θ'. 281. Τεῦκρε, φίλη κεφαλή. π'. 77. σ'. 114. ψ'. 94. Od. α'. 343. Theogn. 535. δουλείη κεφαλή. Herod. III. 29. ὦ κακαὶ κεφαλαί. Dem. p. 559. ὦ μιαρὰ κεφαλή. p. 577. ὦ μιαρὰ κεφαλή. p. 442. ὦ κακὴ κεφαλή. p. 552. καὶ ταῦτα ἔλεγεν ἡ μιαρὰ καὶ ἀναιδὴς αὕτη κεφαλή. Id. de Cor. 153. ἵν' εἰδῆτε ἡλίκα πράγματα ἡ μιαρὰ κεφαλὴ ταράξασα αὕτη δίκην οὐκ ἔδωκε. Plat. Phaedr. 264 A. Φαῖδρε, φίλη κεφαλή. Gorg. 513 D. ὦ φίλη κεφαλή. Ion. 531. ὦ φίλη κεφαλὴ Ἴων. Euthyd. 293. μετὰ Διονυσοδώρου τοῦδε, φίλης κεφαλῆς. Similiter κάρα usurpant tragici, Soph. Oed. C. 526. 783. 1702. 1728. Eur. Tro. 1031. Rhes. 226. Ἄπολλον, ὦ δία κεφαλὰ —. 902. ὦ φιλία φιλία κεφαλά. Or. 481. Μενέλαε — ἀνόσιον κάρα. 1374. Plut. Alex. 9. ἡμεῖς δέ σοι, κακὴ κεφαλή, νόθοι δοκοῦμεν; 51. ὦ κακὴ κεφαλή. Similiter Ran. 571. ὦ μιαρὰ φάρυγξ. Hom. Il. θ'. 164. ἔρρε, κακὴ γλήνη. Od. κ'. 75. Juven. XIII. 174. 'perjuri capitis.' Ter. Adelph. V. 9. 9. 'lepidum caput.' Andr. II. 2. 34. 'ridicula capita.' Plaut. Mil. III. 1. 129. 'caput lepidum.'

Schol. ὦ μιαρὰ κεφαλή: Ἐκ τοῦ ἡγεμονικοῦ μέρους τοῦ σώματος δηλοῖ τὸν ἄνδρα, παραπλησίως Ὁμήρῳ [Il. Θ. 281.] "Τεῦκρε, φίλη κεφαλή." καὶ [Od. Α. 343.] "τοίην γὰρ κεφαλήν." καὶ παρὰ Δημοσθένει [p. 552.] "καὶ τοῦτ' ἔλεγες, ὦ μιαρὰ κεφαλή."

288. ἀναίσχυντος εἶ καὶ βδελυρός] Cf. Ran. 465. ὦ βδελυρὲ κἀναίσχυντε καὶ τολμηρὲ σύ. Pac. 182. Eq. 304. Dem. p. 778. ὁ βδελυρὸς καὶ ἀναιδὴς ἄνθρωπος οὑτοσί.

290. *Schol.* ἡμῶν μόνος: χωρὶς ἡμῶν τῶν Ἀθηναίων· ἢ μόνος ἐξ ἡμῶν. R.

291. Cf. Ran. 1474. αἴσχιστον ἔργον προσβλέπεις μ' εἰργασμένος;

σπεισάμενος εἶτα —] Cf. Nub. 377. 386. 592. Vesp. 379. 423. Ran. 367. Monk. ad Hippol. 700.

294. ἀλλ' ἀκούσατε] Anglice, well then, listen. Cf. 540. ἀλλὰ τί ἐχρῆν εἴπατε. Eupol. com. II. 484. ἀλλὰ δίαιταν ἣν ἔχουσ' — λέξομεν, ἀλλ' ἀκούσαθ'.

295. κατά σε χώσομεν τοῖς λίθοις] Cf. Plat. Gorg. 512 B. καταχώσειεν ἂν ὑμᾶς τοῖς λόγοις. Tmesis ut in Vesp. 437. ἔν τί σοι παγήσεται. Ran. 1047. κατ' οὖν ἔβαλεν.

Schol. *χώσομεν τοῖς λίθοις*: *Τοιοῦτο καὶ τὸ Ὁμηρικὸν* [Il. *Γ*. 57.] "*λάϊνον ἕσσο χιτῶνα.*" *ἐν ἤθει γὰρ αὐτὸ μετεποίησεν. Ἀλέξανδρος μὲν γὰρ ἄξιος τῶν λίθων Λακεδαιμονίας ἐρασθεὶς γυναικὸς ἐπὶ συμφορᾷ τῆς πατρίδος, οὗτος δὲ εἰρήνης ἐρᾷ ἐπ' ἀγαθῷ τῆς πατρίδος.*

296. *Schol.* *μηδαμῶς πρίν γ' ἀκούσητε*: *Μεγαλοφρόνως καὶ γενναίως οὐ παραιτεῖται τὸν θάνατον, ἀλλὰ πρῶτον εἰπεῖν ἀξιοῖ, καὶ τότε ἀποθανεῖν, ἐὰν ᾖ δίκαιον.*

297. *λέγε — λόγον*] Cf. 303. Eur. Med. 323. *μὴ λόγους λέγε* (*πλέκε* Herw.), | *ὡς ταῦτ' ἄραρε.*

Schol. *οὐκ ἀνασχήσομαι*: *Ὅτι τινὲς τὸ ἀνασχήσομαι ὡς ἔκφυλον νομίζουσιν· ἐχρήσατο δὲ αὐτῷ καὶ Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους* (Suid. *Ἀριστοκράτους*). *οὐ δεῖ οὖν μόνον λέγειν ἀνέξομαι.*

298. *Schol.* *Κλέωνος*: *Ἐμισεῖτο γὰρ ὁ Κλέων ὡς συνταράττων τὰ κοινά.* R.

300. *μεμίσηκα*] De hoc usu perfecti cf. ad 993. *νενόμικας.* 764. *κεχάρηκας.* Vesp. 591. *ἐψήφισται.* 944. *σεσιώπηκας.* 1129. *πεπειράσθω.* Pac. 820. *πεπόνηκα.* Eq. 63. *πεποίηται.* Lys. 1234. *ὑπονενοήκαμεν.*

ὃν κατατεμῶ —] Haec Chorus ex persona Poetae loquitur. Hinc discimus jam in animo habuisse nostrum Cleonis injuriam ulcisci, eumque in Equitibus fabula mox docenda vellicare. Scriptor Vit. Arist. (XII. § 4. Bergk.) *διήχθρευε δὲ αὐτῷ* (sc. *Κλέωνι*) *ὁ Ἀριστοφάνης, ἐπειδὴ ξενίας κατ' αὐτοῦ γραφὴν ἔθετο ὅτι ἐν δράματι αὐτοῦ Βαβυλωνίοις διέβαλε τῶν Ἀθηναίων τὰς κληρωτὰς ἀρχὰς παρόντων ξένων.* Id. § 6. *δεύτερον δὲ καὶ τρίτον συκοφαντηθεὶς ἀπέφυγε, καὶ οὕτω φανερὸς κατασταθεὶς πολίτης κατεκράτησε τοῦ Κλέωνος.* Cf. 377. 659. "Loquitur quasi coriarius de corio quia Cleo erat coriarius. Dicit autem *τοῖς ἱππεῦσι* quia ordo equestris infensus erat Cleoni. In Eq. 225. *ἀλλ' εἰσὶν ἱππῆς ἄνδρες χίλιοι, οἳ μισοῦσιν αὐτόν.*" BE.

κατατεμῶ — καττύματα] Recte abest praepositio, ut in Eq. 768. *κατατμηθείην τε λέπαδνα.* Satis notus est hic Atticismus, qui restituendus videtur Euphroni Athen. I. 7 E. ubi vulgo legitur *θήλειαν λαβὼν | γογγυλίδα, ταύτην ἔτεμεν εἰς λεπτὰ σφόδρα, | τὴν ὄψιν αὐτῆς τῆς ἀφύης μιμούμενος.* (*εἰς* et *σφόδρα* non agnoscunt codices. *ἔτεμεν εἰς λεπτὰ καὶ μακρὰ* habet Suidas in *Ἀφύα ἐς πῦρ*, monente Schweighaeusero. unde legerim *ἔτεμε λεπτὰ καὶ μακρά.*) Ephippus Athen. p. 286 E. *πότερον ἐγὼ | τὴν βατίδα τεμάχη κατατεμὼν ἕψω; τί φῄς; | ἢ Σικελικῶς ὀπτὴν ποιήσω* [malim, *ποιῶ σοι*]; *Σικελικῶς.* Alexis p. 324 C. *τὸ δὲ ἄλλο σῶμα κατατεμὼν πολλοὺς κύβους.* Sotades p. 293 E. *τεμὼν δὲ λεπτὴν τῆς χλόης.* ELM. Cf. ad 320. (ubi praepositio similiter ab librariis inferta est). Eq. 370. *δερῶ σε θύλακον κλοπῆς.* 768. *διαπρισθείην κατατμηθείην τε λέπαδνα* (ubi schol: *εἰς μέρη λωροτμηθείην. — λείπει δὲ ἡ εἰς, ἵν' ᾖ εἰς λέπαδνα*). Nub. 441. *ἀσκὸν δείρειν.* Theocr. III. 21. *τὸν στέφανον τῖλαί με καταυτίκα* (*παρ.?*) *λεπτὰ ποιησεῖς.* Eur. Fr. 475 a, 4. *ζαθέους ναοὺς — οὓς αὐθιγενὴς τμηθεῖσα δοκοὺς | στεγανοὺς παρέχει — κυπάρισσος.* Herod. IV. 67. *ἐπεὰν τὴν φιλύρην τρίχα* (*τρία* plures libri) *σχίσῃ.*

VII. 121. *τρεῖς μοίρας ἐδάσατο τὸν στρατόν.* II. 147. *δυώδεκα μοίρας δασάμενοι Αἴγυπτον πᾶσαν.* IV. 148. *σφέας αὐτοὺς ἓξ μοίρας διεῖλον.* Schaefer. ad Plut. Vit. IV. 293. Eodem fere sensu dixit *μυττωτεύσω* Vesp. 62. Sunt autem *καττύματα* coria dura et crassa ex quibus fiunt soleae calceorum; apte autem hoc minatur senex, quia *βυρσοδέψης* fuit Cleon. Cf. Vesp. 1160. *ὑποδήσασθαι — δυσμενῆ καττύματα.* Eq. 315. 869. Cratin II. 244. *οὐρανοῦ καττύματα. Καττύεσθαι* est Eq. 314.

Schol. ὃν ἐγὼ κατατεμῶ: (*Ἐνταῦθα πάλιν περιττεύει τὸ ποτέ διὰ τὴν μετροποιίαν, καὶ ἔτι πρὸς τὴν ἐξήγησιν, οὐ ποτὲ τέμνει τὸν Κλέωνα Ἀριστοφάνης, ἀλλ' ἀεί. ὡς οὖν ἄνω τὸ νῦν περιττεύει, οὕτως ἐνταῦθα τὸ ποτέ. ἔστι γὰρ τοῦ αὐτοῦ μέτρου τὸ κῶλον. καττύματα δέ ἐστι δέρματά τινα ἰσχυρὰ καὶ σκληρά, ἅπερ τοῖς σανδαλίοις καὶ τοῖς ἄλλοις ὑποδήμασιν ὑποβάλλεται.*) *οἰκεία δὲ ἡ ἀπειλὴ κατὰ τοῦ Κλέωνος· βυρσοδέψης γὰρ οὗτος. ὅτι δὲ τοῖς ἱππεῦσιν ἦν τις ἔχθρα πρὸς Κλέωνα καὶ διὰ τῆς ἀρχῆς δεδήλωκε* (7) "*καὶ φιλῶ τοὺς ἱππέας διὰ τοῦτο τοὔργον.*" .

302. *λόγους λέγοντος*] Cf. 299. Eur. Med. 315. *ἀλλ' ἔξιθ' ὡς τάχιστα, μὴ λόγους λέγε.*

303. *Schol. σοῦ δ' ἐγὼ λόγους λέγοντος:* (*Ἕπεται τῇ δυάδι δίστιχον, ὃ τοῖς μέλεσιν ἐξ ἔθους ὑπάγουσιν, ὅπερ ἐστὶ τετράμετρον τροχαϊκὸν καταληκτικόν.*) *οὐ λέγει ὅτι τοὺς μὲν μακροὺς οὐ προήσομαι, ἀκούσομαι δὲ τοὺς διὰ συντομίας λεγομένους, ἀλλ' ὅτι πάντες οἱ λόγοι μακροὶ πεφύκασι κρινόμενοι πρὸς πρᾶξιν, εἰ πέπρακται.*

306. *τῶν δ' ἐμῶν σπονδῶν ἀκοῦσαι*] Schol: *λείπει ἡ περί.* Sic Pl. 333. *τοῦ πράγματος | ἀκήκοέν τι.*

Schol. τῶν δ' ἐμῶν σπονδῶν: Λείπει ἡ περί. οὐ βούλεται δὲ αὐτοὺς τῶν Λακεδαιμονίων μνημονεύειν διὰ τὸ ἐνθυμουμένους τὰ ὑπ' αὐτῶν γεγενημένα ὀργίλως καθίστασθαι.

307 sq. Cf. Pac. 1063. *ὦ μέλεοι — οἵτινες — συνθήκας πεποίησθ' ἄνδρες χαροποῖσι πιθήκοις. — καὶ κέπφοι τρήρωνες ἀλωπεκιδεῦσι πέπεισθε, | ὧν δόλιαι ψυχαί, δόλιαι φρένες.*

307. Cf. Lys. 912. *καὶ πῶς ἔθ' ἁγνὴ δῆτ' ἂν ἔλθοιμ' ἐς πόλιν;*

εἴπερ — γ'] V. Elmsl. ad Med. 805.

ἐσπείσω — οἷσιν] Cf. Eur. Or. 1680. *σπένδομαί τε συμφοραῖς.*

ἅπαξ] Semel, omnino. Cf. Vesp. 1129. Av. 342.

308. *οἷσιν οὔτε βωμὸς οὔτε πίστις οὔθ' ὅρκος μένει*] *βωμὸς* est jusjurandum per victimas, *ὅρκος* per verba, *πίστις* per dextras. PORS. ad Eur. Med. 21. Notatur perfidia Laconum, ut in Lys. 629. *ἀνδράσιν Λακωνικοῖς, | οἷσι πιστὸν οὐδὲν εἰ μὴ περ λύκῳ κεχηνότι.* KUST. Euripidis versum Androm. 445. *Σπάρτης ἔνοικοι δόλια βουλευτήρια* memorat scholiasta. DIND. Adde Pac. 623. 1065. 1067. Dem. 659, 5—14. Cf. Eur. Med. 21. *βοᾷ μὲν ὅρκους, ἀνακαλεῖ δὲ δεξιᾶς | πίστιν μεγίστην.*

Schol. οὔτε πίστις οὔθ' ὅρκος: (*Ἐπὶ ἀπιστίᾳ γὰρ διεβάλλοντο οἱ Λακεδαιμόνιοι. καὶ Εὐριπίδης ἐν Ἀνδρομάχῃ* [445.]

"*Σπάρτης ἔνοικοι, δόλια βουλευτήρια.*"

τρία δὲ ἐγκλήματα παραβασίας προσέθηκεν αὐτοῖς.) αἱ γὰρ συνθῆκαι διὰ τριῶν τελοῦνται, λόγων ἔργων, χειρῶν· λόγων μὲν, οἷον δι' ὅρκου· ἔργων δὲ, διὰ τῶν ἐν βωμοῖς θυσιῶν· χειρῶν δὲ, ἐπειδὴ αἱ πίστεις διὰ τῶν δεξιῶν γίνονται. καὶ Ὅμηρος [Il. B. 341.] "*καὶ δεξιαὶ, ᾗς ἐπέπιθμεν.*"

309. *οἶδ' — ὄντας*] Cf. 371. *τούς τε γὰρ τρόπους | τοὺς τῶν ἀγροίκων οἶδα χαίροντας σφόδρα* etc.

οἷς — ἐγκείμεθα] In quos invehimur. Thuc. II. 59. *πανταχόθεν δὲ τῇ γνώμῃ ἄποροι καθεστῶτες ἐνέκειντο τῷ Περικλεῖ.* IV. 22. *Κλέων δὲ — πολὺς ἐνέκειτο.* I. 69. *ἰσχυρῶς ἐγκείσονται.* II. 59. *πανταχόθεν δὲ τῇ γνώμῃ ἄποροι καθεστῶτες ἐνέκειντο τῷ Περικλεῖ.* Alio sensu Eur. Andr. 91. *οἷσπερ ἐγκείμεσθ' ἀεὶ | θρήνοισι.* et Theocr. III. 33. *τὶν ὅλος ἔγκειμαι.*

Schol. οἶδ' ἐγὼ καὶ τοὺς Λάκωνας: Πάνυ δεινῶς καὶ τεθαρρηκότως ἐχρήσατο τῇ ἐπαναλήψει, καὶ οὐ κατέπτηξεν οὐδὲ ηὐλαβήθη ἐν τοσούτοις ὑπὲρ τῶν ἐχθρῶν εἰπὼν ὅτι οὐ μόνον οὐκ ἠδίκησαν κατὰ πάντα ἀλλ' ὅτι καὶ ἐν τοῖς ἀδικηθεῖσι ταχθεῖεν ἄν.

313. *ἐγὼ — ὁδί*] Cf. 911. *ἐγὼ τοίνυν ὁδὶ φαίνω* etc. Pl. 868. *πρὸς ἐμὲ τουτονί.*

314. *πόλλ' —*] Noli *πολλὰ* cum *ἔσθ' ἃ* conjungere. Construendum *ἐγὼ ὁδὶ λέγων πολλὰ*, ut monuit Mein. Nisi sensus est Anglice, on many occasions (*πολλὰ* saepe) I could show them to have been in some respects even injured. Cf. ad Fr. 237. *ἐνίοτε πολλαὶ* etc.

